Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

2. (2.)

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
[*(ὧδε) γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων*
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου.]
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενέας τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους·
μυθεῖσθαι δὲ τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια
μηδέ τι βουλεύειν τῇδε πόλει ⟨βλαβερόν⟩,

*) Numeri adiecti sunt editionis Bachianae.

δήμου τε πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

3. 4. 5. (3. 4.)

ἡμετέρῳ βασιλῆι, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον,
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν
ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

6. (5.)

ὥσπερ ὄνοι μεγάλοισ' ἄχθεσι τειρόμενοι,
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντὸς ὅσον καρπὸν ἄρουρα φέρει.

7. (5.)

δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

8. (6.)

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.

εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,
θυμῷ γῆς πέρι τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνῄσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα —
αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητ(ὰ) ἰδεῖν —
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

9. (7.)

'Αλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ'· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὴν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας <ὁμῶς> αὐγαῖσ' ἠελίοιο φίλας.
ἴστε γὰρ Ἄρηος πολυδακρύου ἔργ' ἀίδηλα·

εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' ἐς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνῄσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀ(γέλη)
[οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά·]
(ἀρπ)αλέον γὰρ ὄπισθε μετάφρενον ἐστὶ δαΐζειν
ἀνδρὸς φεύγοντος δηίῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήιον ἄνδρ' ἑλέτω·
καὶ πόδα παρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρεισας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισιν πλησίον ἱστάμενοι.

10. (8.)

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαιμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηίκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ' εἰ Ταντολίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ δ' ἔσχεθε κῦμα μάχης.
ὃς δ' αὖτ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις,
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποισ' ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω,

οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀίδην·
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
εἴκουσιν χώρης οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

11. (10.)

αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμὸν

12. (11.)

πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου

---

13. (11.)

Ἄγετ', ὦ Σπάρτας εὐάνδρω
κῶροι πατέρων πολιατᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως (ἄνσχεσθε)
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

V.

ASIUS.

Χωλός, στιγματίης, πολυγήραος, ἶσος ἀλήτῃ
ἦλθεν κνισοκόλαξ, εὖτε Μέλης ἐγάμει,
ἄκλητος, ζωμοῦ κεχρημένος, ἐν δὲ μέσοισιν
ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.

VI.

[PISANDER.]

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,
καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης·
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

VII.

MIMNERMUS.

ΝΑΝΝΩ.

1. (1.)*)

τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
(οἷ') ἥβης ἄνθη γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα τιθεῖ,
αἰεί μιν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,

---

*) Numeri adiecti sunt editionis Bachianae.

ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

2. (2.)

ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῇσ' αὔξεται ἠελίου,
τοῖσ' ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ' ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι,
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος·
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος·
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧντε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀίδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3. (4.)

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλος.

4. (5.)

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον <ὁ Ζεὺς>
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

5. (3.)

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης

τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

6. (6.)

Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδωνέων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

7. (7.)

Μήτε τινὰ ξείρων δηλεύμενος ἔργμασι λυγροῖς
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν,
τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτέων
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

8. (8.)

ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

9 (12.)

αἰπεῖ⟨άν⟩ τε Πύλον Νηλήιον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα.
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
κεῖθεν δ' (αὖτις Ἄλ)εντος ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

10. (10.)

οὐδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων
ἐξ Αἴης, τελέσας ἀλγινόεσσαν ὁδόν,

ὑβριστῇ Πελίῃ τελέων χαλεπῆρες ἄεθλον,
  οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον

Αἰήταο πόλιν, τόθι τ' ὠκέος Ἠελίοιο
  ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ,
Ὠκεανοῦ παρὰ χεῖλος, ἵν' ᾤχετο θεῖος Ἰήσων.

11. (9.)

Ἠέλιος μὲν γὰρ πόνον ἔλλαχεν ἤματα πάντα,
  οὐδέ κοτ' ἄμπαυσις γίγνεται οὐδεμία
ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠὼς
  Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ·
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνὴ
  κοιίλη, Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ
  εὕδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι
  ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ.
ἔνθ' ἐπεβή(σεθ' ἑῶν) ὀχέων Ὑπερίονος υἱός.

12. (13.)

οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμὸν
  τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον
Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας
  Ἕρμιον ἂμ πεδίον, φῶτα φερεμμελίην·
τοῦ μὲν ἄρ' οὔκοτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη
  δριμὺ μένος κραδίης, εὖθ' ὅγ' ἀνὰ προμάχους
σεύαιθ', αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο
  πικρὰ βιαζόμενος δυσμενέων βέλεα·
οὐ γάρ τις κείνου δηίων (τότ') ἀμεινότερος φὼς
  ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς
ἔργον, ὅτ' αὐγῇσιν φέρετ' (εἴκελος) ἠελίοιο.

13. (15.)

καί μιν ἐπ' ἀνθρώπους βάξις ἔχει χαλεπή.

14. (15.)

ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι

15. (14.)

Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων

VIII.

S O L O N.

ΕΛΕΓΕΙΑ.

1. (12.)*)

Σαλαμίς.

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν.

ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

---

2. (13.)

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·

---

*) Numeri adiecti sunt editionis Bachianae.

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
  Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
  ἀστοὶ βούλονται χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
  ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
  εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

  πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι

  οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
  οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
  τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτεισομένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον·
  εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
  ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην·
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
  τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλ(αις).
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
  ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.
  [πάγκακα δουλοσύνης ζυγὰ φέρουσι βίᾳ.]
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
  αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
  εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,

ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει,
εὐνομίη δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καί θ' ἅμα τοῖς ἀδίκοισ' ἀμφιτίθησι πέδας·
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

---

3. (14.)

δήμῳ μὲν γὰρ ἔδωκα τόσον γέρας, ὅσσον ἀπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖσ' ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν·
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισιν,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

4. (15.) 5. (13.)

δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε βιαζόμενος.
τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται
ἀνθρώποισιν ὅσοις μὴ νόος ἄρτιος ᾖ.

6. (16.)

ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

---

7. (17.)

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου

δῆμος αἰδρείῃ δουλοσύνην ἔπεσεν·
(λίην) δ' ἐξάραντ' οὐ ῥάδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ' ἤδη χρὴ <περὶ> πάντα νοεῖν

8. (18.)

δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

---

9. 10. (19.)

εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μὴ θεοῖσιν τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

11. (17.)

ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

---

12. (4.)

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοισ', ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι

οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν·
ὃν δ' ἄνδρες (μετίωσιν) ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοισ' ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτη·
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ·
οὐ γὰρ δὴν θνητοῖσ' ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κάτα πυροφόρον
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος·
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτεισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ (γένος ἐξ)οπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
(εὖ δεινὴν) αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὐτίκ' ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χὤστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·

[ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλός, μορφὴν οὐ χαρίεσσαν ἔχων·]
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσεσθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισιν,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον,
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖσ' οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κακούμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν·
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν,
ᾗ μέλλει σχήσειν, χρήματος ἀρχομένου·
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν

συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖσ' ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τεισομένην, ἄλλοτε ἄλλος ἔχει.

13. (7.)

οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πόνηροι
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

14. (6.)

πολλοὶ γὰρ πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖσ' οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

15. (8.)

γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

16. (9.)

πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

17. (10.)

γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

---

18. (22.)

(*Πρὸς Φιλόκυπρον.*)

νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον·

αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

19. (21.)

(*Πρὸς Μίμνερμον.*)

ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο,
μηδὲ μέγαιρ' ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
'ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.'

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

---

20. (20.)

Εἰπεῖν μοι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

21. (2.)

Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός.

22. (5.)

Ἰσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστιν
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστιν,
γαστρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός, ἐπὴν καὶ ταῦτ' ἀφίκηται,
ἥβη· σὺν δ' ὥρῃ γίγνεται ἁρμόδια.
ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα

χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀίδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

23. (1.)

ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ
μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

24. (11.)

ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

25. (16.)

Νείλου ἐπὶ προχοῇσι Κανωβίδος ἐγγύθεν ἀκτῆς

26.

πολλὰ ψεύδονται ἀοιδοί.

27. (3.)

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γιγνομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἥντ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος

ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τὴν δεκάτην δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

---

27 a.

Γινώ(σκω) — καί μοι φρενὸς ἔνδοθεν ἄλγεα κεῖται —
πρεσβυτάτην ἐσορῶν γαῖαν Ἰαονίας
κλινομένην . . .

27 b.

τήν τε φ(ιλαργυρ)ίην τήν θ' ὑπερηφανίην

27 c.

ὑμεῖς δ' ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ,
οἳ πολλῶν ἀγαθῶν εἰς κόρον (ἠλ)άσατε,
ἐν μετρίοισι τ(ίθεσθ)ε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς
πεισόμεθ', οὔθ' ὑμῖν ἄρτια τα(ῦτ') ἔσεται

ΙΑΜΒΟΙ.

(ΤΕΤΡΑΜΕΤΡΑ.)

28. (24.)

(Πρὸς Φῶκον.)

εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

29. (24.)

'οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·

περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.'

30. 31.

οἳ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον, ἐλπίδ' εἶχον ἀφνεάν,
κἀδόκουν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον.
χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λο(ξὸν) ὀφθαλμοῖσ' ὁρῶσι πάντες ὥστε δήϊον·
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα, σὺν θεοῖσιν ἤνυσα,
(ἄλλα δ') οὐ μάτην ἔερδον, οὐδέ μοι τυραννίδος
ἁνδάνει βίᾳ τι (ῥέζ)ειν, οὐδὲ πιείρας χθονὸς
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίαν ἔχειν.

(ΤΡΙΜΕΤΡΑ.)

32.

ἐγὼ δὲ τῶν μὲν οὕνεκ' ἄξον' ἤγαγον,
δῆμόν τι τούτων πρὶν τυχ(εῖν) ἐπαυσάμην.
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας·
πρόσθεν δὲ δουλεύουσα νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν

ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους.
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει
νόμου βίην τε καὶ δίκην συναρμόσας
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν οὑτέρα φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιεύμενος
ὡς ἐν κυσὶν πολλῇσιν ἐστράφην λύκος.

32a.

δήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον·
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο

32b.

εἰ γάρ τις ἄλλος †ταύτης τῆς τιμῆς ἔτυχεν,
οὐκ ἂν κατέσχε δῆμον οὐδ' ἐπαύσατο,
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα.
ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ
ὅρος κατέστην.

33. (26.)

πίνουσι καὶ τρώγουσιν οἱ μὲν ἴτρια,
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδέν, ἅσσ(α τ') ἀνθρώποισι γῆ
φέρει μέλαινα, πάντα δ' ἀφθόνως πάρα.

34. (26.)

σπεύδουσι δ' οἱ μὲν ἴγδιν, οἱ δὲ σίλφιον,
οἱ δ' ὄξος.

35. (26.)

κόκκωνας ἄλλος, ἕτερος (αὖτε) σήσαμα

[36.] (23.)

Πρῶτα μὲν εὐχώμεσθα Διὶ Κρονίδῃ βασιλῆι,
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

IX.

CLEOBULINA.

1.

Ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντο βιαίως·
καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον.

2.

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·
οὕτω συγκόλλως ὥστε σύναιμα ποιεῖν.

2a.

Κνήμῃ νεκρὸς ὄνος με κερασφόρῳ οὖας ἔκρουσεν.

3.

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάστῳ
παῖδες δὶς τριήκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

X.

[AESOPUS.]

Πῶς τις ἄνευ θανάτου σε φύγῃ, βίε; μυρία γάρ σευ
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν·
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
τἆλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται νέμεσιν.

XI.

DEMODOCUS.

1.

⟨Καὶ τόδε Δημοδόκου·⟩ Μιλήσιοι ἀξύνετοι μὲν
οὐκ εἰσί, δρῶσιν δ' οἷά περ ἀξύνετοι.

[2.]

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μέν, ὃς δ' οὔ,
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χῖος.

[3.]

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης, καὶ Κινύρης δὲ Κίλιξ.

[4.]

Καππαδόκην ποτ᾽ ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

[5.]

Καππαδόκαι φαῦλοι μὲν ἀεί, ζώνης δὲ τυχόντες
φαυλότεροι, κέρδους δ᾽ εἵνεκα φαυλότατοι·
ἢν δ᾽ ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δή ῥα τότ᾽ εἰς ὥρας φαυλεπιφαυλότεροι.
μή, λίτομαι, βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

6.

Ἢν τύχῃς κρίνων, δικάζευ τὴν Πριηνίην δίκην.

XII.

PHOCYLIDES.

ΓΝΩΜΑΙ.

1.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ᾽ ἵππου χαιτηέσσης.
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ᾽ ἂν κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ᾽ ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχευ, φίλ᾽ ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

2.

Καὶ τόδε Φωκυλίδεω· τί πλέον, γένος εὐγενὲς εἶναι,
οἷσ᾽ οὔτ᾽ ἐν μύθοισ᾽ ἕπεται χάρις οὔτ᾽ ἐνὶ βουλῇ;

3.

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

4.

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἅσσ᾽ ἂν περιγογγύζωσι πολῖται.

5.

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

6.

Νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρὴν
ἀνδράσιν· ἡσυχίη δ᾽ ἀρετὴν διζημένῳ ἐσθλή.

7.

Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

8.

Δίζησθαι βιοτήν, ἀρετὴν δ᾽, ὅταν ᾖ βίος ἤδη.

9.

χρὴ δ᾽ ἐν συμποσίῳ κυλίκων περινισσομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

10.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

11.

χρὴ παῖδ᾽ ἔτ᾽ ἐόντα
καλὰ διδάσκειν ἔργα.

12.

πόλλ᾽ ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν

13.

ἀλλ᾽ ἄρα δαίμονές εἰσιν ἐπ᾽ ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακοῦ ἀνέρας ἐκλύσασθαι . . .

14.

<Καὶ τόδε Φωκυλίδεω·> χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς
φεύγειν, μή σε γ᾽ ἀνιήσ(ῃ) παρὰ καιρὸν ἀπαιτέων.

[15.]

ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ᾽ ἀρετή ἐστιν.

[16.]

Καὶ τόδε Φωκυλίδου· Λέριοι κακοί· οὐχ ὁ μέν, ὃς δ᾽ οὔ·
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

[17.]

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ᾽ ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

XIII.

XENOPHANES.

ΕΛΕΓΕΙΑ.

1. (21.)*)

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ᾽ ἀμφιτιθεῖ στεφάνους

---

*) Numeri adiecti sunt editionis Karstenianae.

ἄλλος· ⟨δ⟩ δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
  κρητὴρ δ' ἕστηκεν μεστὸς ἐυφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν,
  μείλιχος ἐν κεράμοισ', ἄνθεος ὀζόμενος·
ἐν δὲ μέσοισ' ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν·
  ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
  τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον πάντῃ πεπύκασται·
  μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὴ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
  εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις·
σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
  πρήσσειν — ταῦτα γὰρ ὦν ἐστι προχειρότερον —
οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
  οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
  ὥς οἱ μνημοσύνη καὶ (πόνος) ἀμφ' ἀρετῆς,
οὔτι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων,
  οὐδ' (αὖ) Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖσ' οὐδὲν χρηστὸν ἔνεστιν·
  θεῶν ⟨δὲ⟩ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

2. (19.)

ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
  ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ Πίσαο ῥοῇσ' ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
  ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
  ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο.

καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλιος καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταῦτά κε πάντα λάχοι,
οὐκ ἐὼν ἄξιος, ὥσπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη
οὔτ' εἰ πενταθλεῖν οὔτε παλαισμοσύνην
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τόπερ ἐστὶ πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλιος.

3. (20.)

ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χείλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτησιν ἀγαλλόμενοι εὐπρεπέεσσιν,
ἀσκητοῖσ' ὀδμὴν χρίμασι δευόμενοι.

4. (23.)

οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

5. (22.)

πέμψας γὰρ κωλῆν ἐρίφου, σκέλος ἤραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,

τοῦ κλέος Ἑλλάδα πᾶσαν ἐφίξεται οὐδ' ἀπολήξει,
ἔστ' ἂν ἀοιδάων ᾖ γένος Ἑλλαδικόν.

6. (18.)

Νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον * * *
καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
'παῦσαι μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶν
ψυχή, τὴν ἔγνων φθεγξαμένης αἰων.'

7. (24.)

ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

8. (26.)

ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος

ΕΠΗ.

(Σίλλοι ἢ παρῳδίαι.)

9. (17).

Παρ πυρὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ
ἐν κλίνῃ μαλακῇ κατακείμενον, ἔμπλεον ὄντα,
πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ' ἐρεβίνθους·
'τίς πόθεν εἶς ἀνδρῶν; πόσα τοι ἔτε' ἐστί, φέριστε;
πηλίκος ἦσθ' ὅθ' ὁ Μῆδος ἀφίκετο;'

10. (27.)

ἑστᾶσιν δ' ἐλάτης πυκιν(οὶ) περὶ δῶμα<τα βάκχοι>.

(Περὶ φύσεως.)

11. (8.)

ἐκ γαίης γὰρ πάντα, καὶ εἰς γῆν πάντα τελευτᾷ.

11a.

πηγὴ δ' ἐστὶ θάλασσ' ὕδατος, πηγὴ δ' ἀνέμοιο·
οὔτε γὰρ ἐν νέφεσιν †ἔσωθεν ἄνευ πόντου μεγάλοιο
οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰθέρος ὄμβριον ὕδωρ,
ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε
καὶ ποταμῶν

---

12. (1.)

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίιος οὔτε νόημα.

13. (2.)

οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει.

14. (3.)

ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει.

15. (4.)

αἰεὶ δ' ἐν ταὐτῷ μίμνει κινεύμενον οὐδέν,
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ.

16. (7.)

Πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε,
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν,
(καὶ) πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα.

17. (6.)

... ἀλλ' εἰ χεῖρας ἔχον βόες ἠὲ λέοντες,
(ὡς) γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίευν
τοιαῦθ', οἷόν περ καὐτοὶ δέμας εἶχον (ἕκαστοι),
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα.

18.

ἐξ ἀρχῆς καθ' Ὅμηρον, ἐπεὶ μεμαθήκασι πάντες.

19. (14.)

καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ γένετ' οὐδέ τις ἔσται
εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·
εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὁμῶς οὐκ οἶδε· δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

20. (10.)

γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γίνοντ' ἠδὲ φύονται.

21. (9.)

πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.

22. (12.)

γαίης μὲν τόδε πεῖρας ἄνω παρ ποσσὶν ὁρᾶται
αἰθέρι προσπλάζον, τὰ κάτω δ' ἐς ἄπειρον ἱκάνει.

23. (11.)

πηγὴ δ' ἐστὶ θάλασσ' ὕδατος.

24. (13.)

ἥν τ' ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκεν,
πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

25.

εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

26. (15.)

ταῦτα δεδόξασται μὲν ἐοικότα τοῖς ἐτύμοισιν.

27.

ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι

28. (16.)

οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖσ' ὑπέδειξαν,
ἀλλὰ χρόνῳ ζητέοντες ἐφευρίσκουσιν ἄμεινον.

29.

(ἁγνὸν) ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ.

ΙΑΜΒΟΙ.

30. (5.)

ἀλλ' οἱ βροτοὶ δοκέουσι γεννᾶσθαι θεούς,
τὴν σφετέρην δ' ἐσθῆτά <τ'> ἔχειν φωνήν τε δέμας τε.

XIV.

HIPPONAX.

ΙΑΜΒΟΙ.

ΒΙΒΛΙΟΝ Α.

1. 2. (1. 18.)*)

ἔβωσε Μαίης παῖδα, Κυλλήνης πάλμυν·
"Ἑρμῆ κυνάγχα, Μῃονιστὶ Κανδαῦλα,
φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.'

3. (44.)

Κοραξικὸν μὲν ἠμφιεσμένη λῶπος

*) Numeri adiecti sunt editionis Welckerianae.

4. (44.)

βάλλοντες ἐν λειμῶνι καὶ ῥαπίζοντες
κράδῃσι καὶ σκίλλῃσιν ὥσπερ φαρμακόν

5.

πᾶσαν, τέαρ', (ὅδευε) τὴν ἐπὶ Σμύρνης·
ἴθι διὰ Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον
καὶ σῆμα Γύγεω καὶ Μεγάστρυ<ος> στήλην
καὶ μνήματ' (Ἄτυος Ἀττάλυδα) πάλμυδος,
πρὸς ἥλιον δύνοντα γαστέρα τρέψας.

6.

Μακάριος ὅστις θηρεύει πρήσας . .

---

7. (14.)

ἐρέω γὰρ οὕτω· 'Κυλλήνιε Μαιάδος Ἑρμῆ

8. (15.)

τοὺς ἄνδρας τούτους ὀδύνη ('πιαλεῖ ῥιγηλή).

BIBΛION B.

9. (54.)

ἀκήρατον δὲ τὴν ἀπαρτίην ἔχει.

---

*10. (11.)

χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

11. (12.)

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

12. (5.)

Κίκων δ' ὁ (πανδήλητος), ἄμμορος καύηξ,
τοιόνδε δάφνης κλάδον ἔχων . . . .

13. (44.)

πόλιν καθαίρειν καὶ κράδησι βάλλεσθαι

14. (44.)

δεῖ δ' αὐτὸν ἐς φαρμακὸν ἐκποιήσασθαι.

15. (44.)

κἄφη παρέξειν ἰσχάδας τε καὶ μᾶζαν
καὶ τυρόν, οἷον ἐσθίουσι φαρμακοί.

16. (44.)

πάλαι γὰρ αὐτοὺς προσδέχονται χάσκοντες
κράδας ἔχοντας, ὡς ἔχουσι φαρμακοὺς . . .

17. (44.)

λιμῷ γέν(οιτο) ξηρός, ἐν δὲ τῷ θυμῷ
φαρμακὸς ἀχθεὶς ἑπτάκις ῥαπισθείη.

18. (4.)

ὣς οἱ μὲν ἀγέι Βουπάλῳ κατηρῶντο.

19.

τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας;

20. (6. 33.)

Ὦ Κλαζομένιοι, Βούπαλος κατέκτεινεν

21.

τούτοισι θηπέων τοὺς Ἐρυθραίων παῖδας
οὓς φησι μητροκοίτης Βούπαλος σὺν Ἀρήτῃ
καὶ φελίζων τὸν δυσώνυμον ἄρτον

22. (10. 9.)

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλληναῖε,
ἐπεύχομαί τοι, κάρτα γὰρ κακῶς ῥιγῶ.

δὸς χλαῖναν Ἱππώνακτι καὶ κυπασσίσκον
καὶ σαμβαλίσκα κἀσκερίσκα καὶ χρυσοῦ
στατῆρας ἑξήκοντα τοὐτέρου τοίχου.

23. (10.)

δὸς χλαῖναν Ἱππώνακτι, κάρτα γὰρ ῥιγῶ
καὶ βαμβακύζω.

24. (9.)

ἐμοὶ γὰρ οὐκ ἔδωκας οὔτε κω χλαῖναν
δασεῖαν, ἐν χειμῶνι φάρμακον ῥίγευς,
οὔτ' ἀσκέρῃσι τοὺς πόδας δασείῃσιν
ἔκρυψας, ὥς μή μοι χίμετλα ῥήγνυται.

25.

ἐμοὶ δὲ Πλοῦτος — ἔστι γὰρ λίην τυφλός —
ἐς τῳκί' ἐλθὼν οὐδάμ' εἶπεν· "Ἱππῶναξ,
δίδωμί τοι μνᾶς ἀργύρου τριήκοντα
καὶ πόλλ' ἔτ' ἄλλα·" τὰς φρένας γὰρ δείλαιος.

26. (2.)

Ὦ Ζεῦ πάτερ ⟨Ζεῦ⟩, θεῶν Ὀλυμπίων πάλμυ

27. (3.)

τί μοι οὐκ ἔδωκας χρυσόν, ἀργύρου πάλμυν;

28. (16.)

ἀπό σ' ὀλέσειεν Ἄρτεμις, σὲ δὲ κὠπόλλων.

29. (17.)

παρ' ᾧ σὺ λευκόπεπλον ἡμέρην μείνας
πρὸς μὲν κυνήσειν τὸν Φλυησίων Ἑρμῆν

30.

τίς ὀμφαλητόμος σε τὸν διοπλῆγα
ἔψησε κἀπέλουσεν ἀσκαρίζοντα;

31. (19.)

συκῆν μέλαιναν, ἀμπέλου κασιγνήτην

32. (20.)

ὁ μὲν γὰρ αὐτῶν ἡσυχῆ τε καὶ ῥύβδην
θυννίδα τε καὶ μυττωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
πέτρας ὀρείας, σῦκα μέτρια τρώγων
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

33. (26.)

οὐκ ἀτταγᾶς τε καὶ λαγὼς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων

34. (21.)

ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην
τὴν ἑπτάφυλλον, ἣ θύεσκε Πανδώρη
Θαργηλίοισιν ἔγχυτον πρὸ φαρμακοῦ.

35. (23.)

ἐκ πελλίδος πίνοντες· οὐ γὰρ ἦν αὐτῇ
κύλιξ, ὁ παῖς γὰρ ἐμπεσὼν κατήραξεν.

36. (24.)

ἐκ δὲ τῆς πέλλης
ἔπινον, ἄλλοτ' αὐτός, ἄλλοτ' Ἀρήτη
προὔπινεν.

37. (22.)

σπονδῇ τε καὶ σπλάγχνοισιν ἀγρίης χοίρου

38. (27.)

βακκάρι δὲ τὰς ῥῖνας
ἤλειφον· ἔστι δ' οἷά περ κρόκος . .

39.

Ἐπ' ἁρμάτων τε καὶ Θρηικίων πώλων
λευκῶν (συθεὶς) κάτεγγυς Ἰλίου πύργων
ἀπηναρίσθη Ῥῆσος, Αἰνειῶν πάλμυς.

40.

Κακοῖσι δώσω τὴν πολύστονον ψυχήν,
ἢν μὴ ἀποπέμψῃς ὡς τάχιστά μοι κριθέων
μέδιμνον, ὡς ἂν ἀλφίτων ποιήσωμαι
κυκεῶνα, πίν(ειν) φάρμακον πονηρίης.

*41. (113.)

(ἀνόλβιος) πλάνητι προσπταίων κώλῳ

42. (28.)

καὶ Μύσων, ὃν ὡπόλλων
ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων.

43. (30.)

καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν,
Φρύγας μὲν ἐς Μίλητον ἀλφιτεύσοντας

44. (31.)

ᾤκει δ' ὄπισθε τῆς πόληος ἐν Σμύρνῃ,
μεταξὺ Τρηχείης τε καὶ Λέπρης ἀκτῆς.

*45. (34.)

εἰς ἄκρον ἕλκων, ὥσπερ ἀλλᾶντα ψύχων

46. (7.)

Μιμνῆ κακομήχανε ⟨σύ⟩, μηκέτι γράψῃς
ὄφιν τριήρευς ἐν πολυζύγῳ τοίχῳ
ἀπ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην·
αὕτη γάρ ἐστι συμφορή τε καὶ κληδών,
νικύρτα καὶ σάβαυνι, τῷ κυβερνήτῃ,
ἤν αὐτὸν ὄφις τὠντικνήμιον δάκ(νῃ).

47. (35.)

ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας

48. (8.)

ὁ δ' αὐτίκ' ἐλθὼν σὺν τριοῖσι μάρτυρσιν,
ὅκου τὸν ἔρπιν ὁ σκότος καπηλεύει,
ἄνθρωπον εὗρε τὴν στέγην ὀφέλλοντα
— οὐ γὰρ παρῆν ὄφελμα — πυθμένι στοιβῆς.

49. (36.)

καί μιν καλύπτει. 'μῶν χαραδριὸν περνᾷς;'

50. (38.)

ἀλλ' αὐτίκ' ἀλληλοισιν ἐμβιβάξαντες

51. (39.)

κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ

52. (40.)

ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησεν.

*53.

Ἑρμῆς δὲ Σιμώνακτος ἀκολουθήσας

54. (41.)

σίφωνι λεπτῷ τοὐπίθημα τετρήνας

55. (42.)

στάζουσιν ὥσπερ (ἐκ) τραπηί(ου) σάκκος.

56. (43.)

κἄλειφα ῥόδινον ἡδὺ καὶ λέκος πυροῦ.

57. (61.)

πρὸς τὴν μαρίλην τὰς φωΐδας θερμαίνων
οὐ παύεται.

58.

τὴν ῥῖνα καὶ τὴν μύξαν ἐξαράξασα

59. (37.)

. . ἐγὼ δὲ δεξιῷ παρ' Ἀρήτην
κνεφαῖος ἐλθὼν ῥωδιῷ κατηυλίσθην.

60.

Μαλίς, κονίσκε· καί με δεσπότεω βεβροῦ
λαχόντα λίσσομαί σε μὴ ῥαπίζεσθαι.

61.

ἐκέλευε βάλλειν καὶ λεύειν Ἱππώνακτα.

62.

καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω.

63. (47.)

⟨καὶ⟩ στέφανον εἶχον κοκκυμήλων καὶ μίνθης.

64.

δοκέων ἐκεῖνον τῇ βακτηρίᾳ κόψαι

65.

ἡμίεκτον αἰτεῖ· τοῦ φάλεω κολάψαιεν

*66.

.. ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα
ἀπ' ὧν ἔδυσε ..... χλούνην.

66a.

⏑ – ἔκρωξεν ⟨ἡ⟩ κύμινδις ἐν λαύρῃ

66b.

κύψασα γάρ μοι πρὸς τὸ λύχνον Ἀρήτη

66c. (80.)

καὶ νῦν ἀρειᾶς σύκινόν με ποιῆσαι.

---

67. (35.)

Ὀλίγα φρονέουσιν οἱ χάλιν πεπωκότες.

68.

Οὔ μοι δικαίως μοιχὸς ἁλῶναι δοκεῖ
Κριτίης ὁ Χῖος ἐν κασωρικῷ (δόμῳ).

69. (65.)

⏑ – ⏑ – κρέας ἐκ μολοβρίτου συός.

70.

λαιμᾷ δέ σευ τὸ χεῖλος ὡς ἐρωδιοῦ.

---

71. (32.)

καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέος κρέσσων

72. (29.)

μηδὲ μοιμύλλειν Λεβεδίην ἰσχάδ' ἐκ Καμανδωδοῦ

73. (57.)

Κυπρίων βέκος φαγοῦσι κἀμαθουσίων πυρόν

74. 75. (58. 59.)

Λάβετέ μευ ταἰμάτια, κόψω Βουπάλου τὸν ὀφθαλμόν·
ἀμφιδέξιος γάρ εἰμι κοὐκ ἁμαρτάνω κόπτων.

76.

οἵ δέ μευ ὀδόντες
⟨ἐντὸς⟩ ἐν τῇσι γνάθοισι πάντες ⟨ἐκ⟩κεκινέαται.

*77. (112.)

Μητροτίμῳ δηὖτέ με χρὴ τῷ σκότῳ δικάζεσθαι.

---

78. (60.)

ἑξ⟨άκις⟩ τίλλοι τις αὐτὸν τὴν τράμιν ⟨τ'⟩ ὑποργάσαι.

79. (64.)

Εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα

ΕΞΑΜΕΤΡΑ.

80. (56.)

Μοῦσά μοι Εὐρυμεδοντιάδεα, τὴν ποντοχάρυβδιν,
τὴν ἐγγαστριμάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεπ', ὅπως ψηφῖδι ⟨κακὸς⟩ κακὸν οἶτον ὄληται
βουλῇ δημοσίῃ παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.

80a.

πῶς παρὰ Κυψοῦν ἦλθε

---

*81. (111.)

καὶ κνίσῃ τινὰ θυμιήσας

[82.] (52.)

Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι,
τρόπον γυναικὸς χρηστὸν ἕδνον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη.
ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβών . . .
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.

XV.

ANANIUS.

ΙΑΜΒΟΙ.

1.

Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν' ἔχεις
ἢ Νάξον ἢ Μίλητον ἢ θείην Κλάρον,
ἴκευ κατ' ἱερ(ά, πρὶν) Σκύθας ἀφίξεαι.

2.

Χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἆλλα

3.

Εἴ τις καθείρξαι χρυσὸν ἐν δόμοις πολλὸν
καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
γνοίη κ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.

4.

καὶ σε πολλὸν ἄνθρωπων
ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην.

5.

ἔαρι μὲν χρόμιος ἄριστος, ἀνθίης δὲ χειμῶνι·
τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ συκῆς φύλλου.

ἡδὺ δ' ἐσθίειν χιμαίρης φθινοπωρισμῷ κρέας,
δέλφακος δ', ὅταν τραπέωσι καὶ πατέωσιν, ἐσθίειν,
καὶ κυνῶν αὖ τῇ τότ' ὥρῃ καὶ λαγῶν κἀλωπέκων·

ὄιος αὖτ', ὅταν θέρος τ' ᾖ κὴχέται βαβράζωσιν·
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυττωτῷ.
βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδὺς
κἠμέρης.

XVI.

THEOGNIS.

ΕΛΕΓΕΙΑ.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ,
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέι λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,

εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε·
σοὶ μὲν τοῦτο, θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
'ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν'
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ' ἔπεσιν, λήσει δ' οὔποτε κλεπτόμενα,
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος·
ὧδε δὲ πᾶς τις ἐρεῖ· 'Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέος· πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός.'
ἀστοῖσιν δ' οὔπω πᾶσιν ἁδεῖν δύναμαι·
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἷζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.

ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμ' ἔσεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν
μούναρχοί θ'· ἃ πόλει μήποτε τῇδε ἅδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι·
οἳ πρόσθ' οὔτε δίκας ᾔδεσαν οὔτε νόμους,
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος,
καὶ νῦν εἰσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.
μηδένα τῶνδε φίλον ποιεῦ, Πολυπαΐδη, ἀστῶν
ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμείξῃς μηδενὶ μηδ' ὁτιοῦν
σπουδαῖον· γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἐπ' οὐδεμία,
ἀλλὰ δόλους τ' ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν
οὕτως, ὡς ἄνδρες μηκέτι σῳζόμενοι.

Μήποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο πολλὰ μογήσας
καὶ μακρὴν ποσσίν, Κύρν', ὁδὸν ἐκτελέσας.

Πρῆξιν μηδὲ φίλοισιν ὁμῶς ἀνακοινέο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

Παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
μή ποτ' ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

(Οὐ τόσσους χ') εὕροις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
εἴ με φιλεῖς καί τοι πιστὸς ἔνεστι νόος.

Ἢ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

Ἢν τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴης,
νοσφισθεὶς δ' ἄλλην γλῶσσαν ἵῃσι κακήν,

τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
ὅς κ' εἴπῃ γλώσσῃ λῷα, φρονῇ δ' ἕτερα.
ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μευ μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.

Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήιον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις·
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον· ἢν δ' ἓν ἁμάρτῃς,
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης·
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Μήποτέ τοι κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.

Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
Κύρν', οὐδ' εὐλαβίης ἔσθ' (ἕτερον) πλέονος.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥῄδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ

ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐδὲ γὰρ εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός,
πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·
οὐδέ κεν εἰκάσσαις ὥσπερ ποτ' ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Μήτ' ἀρετὴν εὔχευ, Πολυπαΐδη, ἔξοχος εἶναι
μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλεθ', ὅσοις ὁσίη, Κύρνε, μέμηλε δίκη.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων·
οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδώς,
ἐς τέλος εἴτ' ἀγαθὸν γίνεται εἴτε κακόν.
πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκεν,
καί τε δοκέων θήσειν ἐσθλόν, ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίνεται, ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελεῦσι νόον.

Οὐδείς πω ξεῖνον, Πολυπαΐδη, ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν ἀθανάτους ἔλαθεν.
βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.
ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἐστιν.
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
Κύρν᾽· ἀρετῆς δ᾽ ὀλίγοις ἀνδράσι μοῖρ᾽ ἕπεται.

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς
μηδ᾽ ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

Μήποτε, Κύρν᾽, ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ᾽ ἐσθλῷ,
οἷς τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν.
εἰσὶν δ᾽ οἳ βουλῇ τ᾽ ἀγαθῇ καὶ δαίμονι δειλῷ
μοχθίζουσι, τέλος δ᾽ ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ᾽ ὄλβιος οὔτε πενιχρὸς
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ᾽ ἀγαθός.

Ἄλλ᾽ ἄλλῳ κακόν ἐστι, τὸ δ᾽ ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ.

Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίνεται οὐδεμία.

Θεοῖς εὔχευ, θεοῖς ἐστιν ἔπι κράτος· οὔτοι ἄτερ θεῶν
γίνεται ἀνθρώποις οὔτ᾽ ἀγάθ᾽ οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα
  καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
  ῥιπτεῖν καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
  οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
  δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.

Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρὶ
  ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
  εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
  ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
  πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι· καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν
  καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμειξε γένος.
οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
  μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
  εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
  ἐντύει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρῆμα δ' ὃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
  καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.

εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέι θυμῷ
  κτήσεται, εἴθ' ὅρκῳ παρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
  αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.
ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἐπ' αὐτοῦ
  τίνονται μάκαρες πρήγματος ἀμπλακίας·
ἀλλ' ὁ μὲν αὐτὸς ἔτεισε κακὸν χρέος οὐδὲ φίλοισιν
  ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
  πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
  τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότερον.

Οἶνόν τοι πίνειν πουλὺν κακόν· ἢν δέ τις αὐτὸν
  πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
  τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ' ἐφέπευ, τοτὲ δ' ἀλλοῖος χρόα γίνευ.
  κρέσσων τοι σοφίη γίνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
  Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥσπερ ἐγώ.

Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
  ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεινός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.

ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι,
τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν.
οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη·
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς
πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

Οὐδὲν ἐπιπρέπει ἧμιν ἅτ' ἀνδράσι σωζομένοισιν,
ἀλλ' ὡς πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ καὶ γῆν πᾶσαν ἀειρόμενος
ῥηιδίως· θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν·
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀίδαο δόμους,
οὐδέποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει

ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων·
πᾶσι δ', ὅσοισι μέμηλε, καὶ ἐσσομένοισιν ἀοιδὴ
ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος·
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
πρᾶγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιστον
ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον·
πολλάκι δ' ἠμέλλησα διαρρήξασα χαλινὸν
φεύγεν, ἀπωσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμεῦ κακίων . . .
'ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες.'
ὥσθ' ἅμα θ' ὑδρεύει καί με γοῶσα φέρει . . .
ἔνθα μέσην περὶ παῖδα βαλὼν ἀγκῶν' ἐφίλησα
δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦσα·
οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντῃ γὰρ τοὔλασσον ἔχει, πάντῃ δ' ἐπίμυκτος,
πάντῃ δ' ἐχθρὴ ὁμῶς γίνεται, ἔνθα περ ᾖ.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις
γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
καὶ πασέων νούσων ἐστὶ πονηρότερον·
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις.

χρήματα δ' εἰ καταθῇς, πόλλ' ἀνιηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
καὶ στυγέουσ' ὥσπερ πτωχὸν ἐσερχόμενον.

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
μηδεμίαν κατόπισθ' ἀζόμενον νέμεσιν·
δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
παρ ποδός, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τῶνδε πρόβαινε,
μήθ' ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ,
μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
ἔγγυον, ἀθανάτων πιστὰ τιθεῖν ἐθέλων.

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἀνδάνει οὐδέν·
(ἐς) δὲ τὸ σῶσ' αἰεὶ πολλοὶ ἀνολβότεροι.

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις·
αἰδὼς μὲν γὰρ ὄλωλεν· ἀναιδείη δὲ καὶ ὕβρις
νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
φθεγγόμενος δ' ἀδαὴς οἷσι παρῇ μελετᾷ,
ἐχθαίρουσι δὲ πάντες· ἀναγκαίη δ' ἐπίμειξις
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδεὶς λῇ φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
οὐδ' ᾧ κ' ἐκ γαστρός, Κύρνε, μιῆς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνὴς
λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
τὸν δὲ κακὸν κινεῖν, ἔστ' ἂν ἐς ὀρθὰ λάβῃς.

Τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἴ(η)·
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκ οῖ)·
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
γινώσκων ὀργὴν ἥντιν' ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μήποτ' ἐπὶ σμικρῇ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι
πειθόμενος χαλεπῇ, Κύρνε, διαιβολίῃ.

εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο,
οὔποτ᾽ ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν· ἁμαρτωλαὶ γὰρ (ἅμ᾽) ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ᾽ οὐκ ἐθέλουσι φέρειν.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν,
μηδ᾽ ἑτέροισι δίδους, Κύρνε, τὰ τῶν ἑτέρων.

332 a *Οὐκ ἔστιν φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·*
b *τῆς δὲ φυγῆς ἐστὶν τοῦτ᾽ ἀνιηρότατον.*

Μήποτε φεύγοντ᾽ ἄνδρα ἐπ᾽ ἐλπίδι, Κύρνε, φιλήσῃς·
οὐδὲ γὰρ οἴκαδε βὰς γίνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν· πάντων μέσ᾽ ἄριστα· καὶ οὕτως
Κύρν᾽, ἕξεις ἀρετήν, ἥντε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
τῶν τ᾽ ἐχθρῶν μεῖζον, Κύρνε, δυνησόμενον.
χοὔτως ἂν δοκέοιμι μετ᾽ ἀνθρώπων θεὸς εἶναι,
εἴ μ᾽ ἀποτεισάμενον μοῖρα κίχοι θανάτου.

Ἀλλὰ Ζεῦ τέλεσόν μοι Ὀλύμπιε καίριον εὐχήν·
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ᾽, εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίην δ᾽ ἀντ᾽ ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί· τίσις δ᾽ οὐ φαίνεται ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ᾽ ἔχουσι βίῃ
συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην

χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος·
τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ' ἄλλον
ἄνδρ' ἰέναι; μὴ δή μ' οὐκ ἐθέλοντα φίλει·
ἀλλ' ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ' ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν·
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος·
μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τε, Κύρν', ἐπιφαίνων
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν'· ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ,
τεῖσαί μιν, πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόῳ, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Οὐ δύναμαι γνῶναι νόον ἀστῶν ὅντιν' ἔχουσιν·
οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς·
μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἅμαξαν ἔλαυνε,
εἰς φιλότητα λίην, Κύρνε, προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;

Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ' ὁδὸν ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ' ἀπὸ δειλῶν
ἔργων ἴσχονται θυμόν, ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες,
ἥτ' ἀνδρὸς παράγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ·
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὗτέ περ αἰεὶ
ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ·
τοῦ δ' αὖτ' οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσιν·
τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους . . .
ἐντράπελ', ἀθανάτων μῆνιν ἀλευάμενος.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων· πολλάκι δ' εἰς ἀρετὴν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων ἐς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ' ἀγάθ' εἶναι
εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες· ἐγὼ δέ τοι αἴτιος οὐδέν,
ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Πίνων δ' οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σεῦ.

Οὐδέν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολύβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ, γινώσκων ἡμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.

Πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθεῖν λώιον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπιεσσάμενον

Φῦσαι καὶ θρέψαι ῥῆον βροτόν, ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὅστις σώφρον' ἔθηκε τὸν ἄφρονα, κἀκ κακοῦ ἐσθλόν
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.
εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν· ἀλλὰ διδάσκων
οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσιν,
τῶν δ' αὐτοῦ ἰδίων οὐδὲν ἐπιστρέφεται.

Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος· ἀλλ' ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακὸν κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν
θυμὸν ἔχων μίμνειν· ἀθανάτων τε δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ'· ἀλλ' ἐπιτολμᾶν
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν ἔχειν.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης.
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς
οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ὤνθρωπ', εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνοίης
καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένευ,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτέων
οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μήποτ' ἐπ' ἀπρήκτοισι νό(ημ') ἔχε, μηδὲ μενοίνα,
χρήμασι, τῶν ἄνυσις γίνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτε τι (καλὸν)
οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβευ, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὅ τ' αἰσχρὸν ἔῃ.

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι,
μηδ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅντιν' ἂν ἡμέων
θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μηδὲ τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ·
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
οὐ πάσας νύκτας γίνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.
ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
οὔτ' ἔτι γὰρ νήφω οὔτε λίην μεθύω.

ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου·
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά·
αἰδεῖται δ' ἕρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος· ἀλλὰ σὺ ταῦτα
γινώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην,
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο — μή σε βιάσθω
γαστὴρ ὥστε κακὸν λάτριν ἐφημέριον —,
ἢ παρεὼν μὴ πῖνε· σὺ δ' 'ἔγχεε' τοῦτο μάταιον
κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις·
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις·
ἀρνεῖσθαι δ' οὐκ οἶδας· ἀνίκητος δέ τοι οὗτος,
ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.
ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
ἀλλήλων ἔριδας (τῆλ') ἀπερυκόμενοι,
ἐς τὸ μέσον φωνέοντες ὁμῶς ἑνὶ καὶ συνάπασιν·
χοὕτως συμπόσιον γίνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

Οἰνοβαρέω κεφαλήν, Ὀνομάκριτε, καί με βιᾶται
οἶνος, ἀτὰρ γλώσσης οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει· ἀλλ' ἄγ' ἀναστὰς
πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει

καὶ νόον ἐν στήθεσσι· δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς καὶ μέγ' ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν· ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸν ἀλλ' ἀγαθόν. 510

Ἦλθες δή, Κλεάριστε, βαθὺν διὰ πόντον ἀνύσσας,
ἐνθάδ' ἐπ' οὐδὲν ἔχοντ', ὦ τάλαν, οὐδὲν ἔχων . . .
νηὸς (πρὸς) πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
Κλεάρισθ', οἷ' ἔχομεν χοῖα διδοῦσι θεοί.
οὔτε τι τῶν ὄντων ἀποθήσομαι, οὔτε τι μεῖζον 517
σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα·
τῶν δ' ὄντων τἄριστα παρέξομεν· ἢν δέ τις ἔλθῃ 515
σεῦ φίλος ὤν, (κατερεῖς) ὡς φιλότητος ἔχεις.
ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν· 519
ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ' εὖ, 520
ὥσθ' ἕνα μὲν ξεῖνον πατρώιον οὐκ ἀπολείπειν,
ξείνια δὲ πλεόνεσσ' οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην, ὦ πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.

Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν, 525
ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ὤ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

Οὐδέ τινα προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
οὐδ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι. 530

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω
αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.

Χαίρω δ᾽ εὖ πίνων καὶ ὑπ᾽ αὐλητῆρος ἀείδων,
χαίρω δ᾽ εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ᾽ αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

Οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ᾽ ὑάκινθος,
οὔτε ποτ᾽ ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνήρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὑτῷ,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω, μὴ τήνδε πόλιν, Πολυπαΐδη, ὕβρις,
ἥπερ Κενταύρους ὠμοφάγους ὄλεσεν.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
Κύρνε, δίκην, ἶσόν τ᾽ ἀμφοτέροισι δόμεν.

μάντεσί τ᾽ οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν,
ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο· τῷ δὲ δικαίῳ
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν᾽, ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ᾽ ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
δήων γάρ σφ᾽ ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο· κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς . . .
ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα.

ὥστε σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

κεκλῆσθαι δ' ἐς δαῖτα, παρέξεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον·
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφόν, ὄφρα διδαχθῇς
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

Εὖ ἔρδων εὖ πάσχε· τί κ' ἄγγελον ἄλλον ἰάλλοις;
τῆς εὐεργεσίης ῥηδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι
ὥστε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥήιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ 'κ κακοῦ ἐσθλόν·
μή με δίδασκ'· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι,
σμικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον,
ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
ἀϝργά· τὰ δ' ἐξοπίσω, τῶν φυλακὴ μελέτω.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν,
πῇ σχήσειν μέλλει, πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ καλῶς ποιεῦντι θεὸς περὶ πάντα τίθησιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.

Τολμᾶν χρή, τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσιν,
ῥηιδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος,
μήτε κακοῖσιν ἀσῶντα λίην φρένα, μήτ' ἀγαθοῖσιν
τερφθ(έντ') ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ', ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.
Δὴν δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ' ἄλλοισιν ὁμίλει
ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτόν, ἣν ἄρα καὶ πρὶν
ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
ἔρρε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
ψυχρὸν ὃν ἐν κόλπῳ ποικίλον εἶχον ὄφιν.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἔπι ψεύδεος μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίνεται οὐδ' ἔτι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν
αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·
σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες·
οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν,
παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
αἰσχρὸν δ' εἰ νήφων παρ μεθύουσι μένοι.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧιτινι μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις,
Κύρν᾽, ⟨ὅγε⟩ καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

Βουλεύευ δὶς καὶ τρίς, ὅ τοί κ᾽ ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι παρ δόξαν τε καὶ ἐλπίδα γίνεται εὖ ῥεῖν
ἔργ᾽ ἀνδρῶν, βουλαῖς δ᾽ οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ᾽ εἰδείης οὔτ᾽ εὔνοον οὔτε τὸν ἐχθρόν,
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ παρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ᾽ οὐκ ἐθέλοντα βίῃ καὶ (δειλὰ) διδάσκεις,
ἐσθλὰ μετ᾽ ἀνθρώπων καὶ καλ᾽ ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν,
Κύρν᾽· ἀρετῆς δ᾽ ἄλλης οὐδεμιῆς ἔραμαι.

Σύν τοι, Κύρνε, παθόντι κακῶς ἀνιώμεθα πάντες·
ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσιν
χαῖρ', ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὀμόσαι χρὴ τοῦτ' 'οὔ μήποτε πρῆγμα τόδ' ἔσται·'
θεοὶ γάρ τοι νεμεσῶσ', οἷσιν ἔπεστι τέλος·
καὶ πρῆξαι μέντοι τι . . . καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
καὶ κακὸν ἐξ ἀγαθοῦ· καί τε πενιχρὸς ἀνὴρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.
καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷα πρὶν ἤδη,
οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών·
νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων· ἦ μάλα τις χαλεπῶς
σῴζεται, (οἷ') ἔρδουσι· κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅτις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσος γίνεται ἐς τὸ μέσον,
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
δειμαίνω, μή πως ναῦν κατὰ κῦμα πίῃ.
ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γινώσκοι δ' ἄν τις καὶ κακ(ός), ἢν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀίδριες· οἱ δὲ τὰ καλὰ
ζητεῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκ ἔστι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν ὅτε μὴ πημαντέον εἴη,
οὐδ' ἔρδειν ὅ τι μὴ λώιον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
καί σε Ποσειδάων χάρμα φίλοις ἀνάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Οὐ δύναμαί τοι, θυμέ, παρασχεῖν ἄρμενα πάντα·
τέτλαθι· τῶν δὲ καλῶν οὔτι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμεῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅστε καὶ ἐξ Ἀίδεω πολυϊδρείῃσιν ἀνῆλθεν,
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥτε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο·
ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς σκιερὸν χῶρον ἀποφθιμένων,

κυανέας τε πύλας παραμείψεται, αἵτε θανόντων
ψυχὰς εἴργουσιν καίπερ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις·
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰσὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ἶσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστιν
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστιν,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός· ὅταν δέ κε τῶν ἀφίκηται
ὥρη, σὺν δ' ἥβη γίνεται ἁρμοδία,
ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀίδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
ὕβριν ἁδεῖν, καί σφιν τοῦτο γένοιτο φίλον
θυμῷ, σχέτλια ἔργα μετὰ φρεσ(ὶν) ὅστις (ἀπ)ηνὴς
ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τεῖσαι κακά, μηδ' ἔτ' ὀπίσσω
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν,
παῖδες δ' οἵτ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες

ποιῶσιν, Κρονίδη, σὸν χόλον ἀζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα· νῦν δ' ὁ μὲν ἔρδων
ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
ἀλλὰ δίκαιος ἐών, μὴ τὰ δίκαια πάθῃ;
τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρὸς
οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος,
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχονται χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιεῦ,
σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος· ἐς δὲ τελευτὴν
αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆσδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός,
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἴη κεν ἄμεινον, (ὁμό)φρονα θυμὸν ἔχοντας
νόσφι μεριμνάων εὐφροσύνως διάγειν

τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

Χρὴ Μουσέων θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν,
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν·
τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
τῆσδε πόλεος, ἵνα τοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας,
τερπόμενοι κιθάρῃ (τ' ἠδ') ἐρατῇ θαλίῃ
παιάνων τε χοροῖς ἰαχῇσί τε σὸν περὶ βωμόν·
ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σύ, Φοῖβε,
ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ·
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον·
ἀλλ' οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μήποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
ἀντ' ἀρετῆς σοφίης τ', ἀλλὰ τόδ' αἰὲν ἔχων
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

Μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν

τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τοί σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίνεται οὐδείς·
ἀλλ' ὡς (λώιον, εἰ) μὴ πλεόνεσσι μέλοι.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν,
ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀίδεω·
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν
ἰθύτερον χρὴ ⟨ἴ⟩μεν, Κύρνε, φυλασσόμενον,
ᾧτινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου·
οὔτε τι γὰρ προσθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον·
οἵ με φίλοι προὔδωκαν· ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον.

Κύρν', ἔμπης δ' ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι·
ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
  Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἵ κ' ἀπογηράσκοντας ἀτιμάζωσι τοκῆας,
  τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

Μήτε τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,
  μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
  θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
ἥτε τρέφει καρποῖσιν . . . ἐν εἰλαπίναις φορέοντας
  ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.
ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
  πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
  γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ· οὐδέ τις ἡμῖν
  αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
  πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
  δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή·
τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
  οὔτ' ἔτι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
  εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

Ἀλλ' ὁπόταν καθύπερθεν (ἐόνθ') ὑπένερθε γένηται,
τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον (ἄστυ) κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέι, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώια δὴ νῦν,
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις.

Πολλάκι δὴ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δειλὸν ἔχοντα,
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
ἀνδρῶν φαινομένων· ἀλλ' ἐγὼ αὐτομάτη
ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὖτις ἔσειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐών

οὔτε φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνέω, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔτε ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἂν σέ γε μωμήσαιτο;
τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἥβα μοι, φίλε θυμέ· τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ὕπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι· κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴης γῆς πέρι μαρνάμεθα.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.

Οἴ μοι ἀναλκείης· ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέσειε γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ὀδυνηρότερον.

Κύρν', εἰ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλεπαίνειν...
γινώσκων καὶ νοῦν, οἷον ἕκαστος ἔχει
αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῶν τε δικαίων
τῶν τ' ἀδίκων, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματ' ἀθύρων,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
ἤμελλ' ἐκτελέσας εἰς Ἀίδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω·
ἐν τριόδῳ δ' ἕστηκα. δύ' εἰσὶν πρόσθεν ὁδοί μοι·
φροντίζω τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο κοὔποτε γαστρὶ
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,

ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ᾧ κ' ἐθέλοι τις.
εἶδον δ' ἄλλον, ὃς ᾗ γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ' 'ὑπάγω φρένα τέρψας·'
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.
οὕτω, Δημόκλεις, κατὰ χρήματ' ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις·
οὐδ' εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ' ἀποδραίη.
ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι, κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
χώρης εἴκουσιν τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λίγ' ἀειδέμεν ὥσπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά με (γῆρυς)
ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμεν(ον).

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς
δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χηρεύσει κτεάνων, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρῄζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι δόκεεν καὶ καλὸν εἶμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ,
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μήποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅντιν' ἔχει.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας πρίν σεν κατὰ πάντα δαῆναι
ἤθεα· νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω . . .

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
εἴς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε Διωνύσου δῶρον ἀειρόμενος.
ταῦτ' ἐσορῶν κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ.
χερσίν τε σπεύδ(ων) χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πῖν' ὁπόταν πίνωσιν· ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτε τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων
χαιρήσεις· δύναται δ' ἄλλοτε ἄλλος ἀνήρ.

Εἰ θείης, Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηριόωσιν,
γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅσου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ σοφῷ·
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένει.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχ(η) καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν· οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
ἄθλων εἰς Ἀίδεω δῶμα μέλαν καταβῇ,
πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηιδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη·
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
(μόχθει) μηδ' ἄχθευ, μηδὲ φίλους ἀνία
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηιδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
ὡς ἐν ἐμῇ γνώμῃ, Κύρνε, πάλαι κέκριται.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώιον ἤδη 1038a
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις. b

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι· παρὰ κλαίοντι γελῶντες
πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν· φυλακὴ δὲ πόλεος φυλάκεσσι μελήσει
ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δ' ἐγὼ οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτὸς
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ·
μήποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ.
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
βουλὴ δ' εἰς ἀγαθὸν καὶ νό(ος) ἐσθλ(ὸς) ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σὺ
αὔλει, καὶ Μουσέων μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
σοὶ καὶ ἐμοί, ⟨μελέ⟩μεν δ' ἀμφιπερικτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γινώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,
ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον·
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν·
τούτων οὐδὲν ⟨ἔνεσ⟩τ' ἄλλ' ἐπιτερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδώς;
τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

1070a Τέρπεό μοι, φίλε θυμέ· τάχ' ἄν τινες ἄλλοι ἔσονται
b ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος,
συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπευ, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι·
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος·
ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονες, ἡγεμόνες δὲ 1082a
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν. b

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας,
εἴ με φιλεῖς καί τοι πιστὸς ἔνεστι νόος,
ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἐμφανέως νεῖκος ἀειράμενος.

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστῃ
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτᾳ καλλιρόῳ ποταμῷ,

εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.

Σκέπτεο δὴ νῦν ἄλλον, ἐμοί γε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἔρδειν· τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινὸν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγὼν
βρόχον ἀπορρήξας· σὺ δ' ἐμῆς φιλότητος ἁμαρτὼν
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

Ὅστις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

1104a Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
b πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.
ἐς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολύβδῳ
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί· τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,

τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
  τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
  οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Πολλὰ δ' ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ· 1114a
  ἀρχὴν γὰρ πενίης οὐχ ὑπερεδράμομεν. b

Χρήματ' ἔχων πενίην μοι ὀνείδισας· ἀλλὰ τὰ μέν μοι
  ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων.
  σὺν σοὶ καὶ κακὸς ὢν γίνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
  Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
  ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε· πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
  ὅστ' Ἀίδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέι θυμῷ
  Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου,
ἥ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
  ὄφρα τε γῆς ἐπέβη (δαιδαλέου τε μυχοῦ).

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων
  οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς·
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
  κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν.
  ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν·
ᾤχετο μὲν πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
σωφροσύνη· χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον·
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους·
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐνομίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς ἐλπίδα προσμενέτω·
εὐχόμενος δὲ θεοῖσι καὶ ἀγλαὰ μηρία καίων
ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μήποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·
ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Ὦ νέοι οἵ νῦν ἄνδρες. ἐμοί γε μὲν οὔτις ἀνάγκη
ταῦθ' ἔρδειν· τῶν μοι πρόσθε χάριν τίθεσο.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
  αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.

Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος· ἀλλ' ὁ μὲν ἐσθλὸς 1162a
  τολμᾷ ἔχων τὸ κακὸν κοὐκ ἐπίδηλον ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν
  θυμὸν ὁμῶς μίσγειν· ἀθανάτων τε δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ'· ἀλλ' ἐπιτολμᾶν
  χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν ἔχειν. f

Οφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
  ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Τοιοῦτός τοι ἀνὴρ ἔστω φίλος, ὃς τὸν ἑταῖρον 1164a
  γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
  φράζεο, καί ποτέ μευ μνήσεαι ἐξοπίσω. d

Οὔτιν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν e
  πιστὸν ἑταῖρον, ὅτῳ μήτις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολύβδῳ
  χρυσός, ὑπερτερίης ἄμμιν ἔνεστι λόγος. h

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μήποθ' ὁμάρτει,
  εὖτ' ἂν ὁδοῦ στέλλῃ τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
  τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Ἐκ καχεταιρείης κακὰ γίνεται· εὖ δὲ καὶ αὐτὸς
  γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἄριστον
  ἀνθρώποις· γνώμη πείρατα παντὸς ἔχει.

ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν· ἦ πολὺ κρέσσω
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἐστι· κακὸν δὲ βροτοῖσι κόρος . . . τῶν οὔτι κάκιον
πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Εἴ κ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε, μεγίστ(ης) κεν πείρ(ατ') ἔχοις ἀρετῆς.

1178a *Τολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσιν ἦτορ ἔχοντα,*
b *πρὸς δὲ θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.*

Κύρνε, θεοὺς αἰδεῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.
δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

1184a *Ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον ὅντιν' ἔχουσιν·*
b *οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.*

Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκε
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμποι,
θνητὸς ἀνὴρ δώροις (ἱλά)μενος προφύγοι.

Οὐκ ἔραμαι κλισμῷ βασιληίῳ ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.

ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι·
(τῷ) ξύλον (οὐ) σκληρὸν γίνεται, (οὐ) μαλακόν.

Μήτι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνυστὸν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Ὄρνιθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθέας ἄλλοι ἔχουσιν ἀγροὺς
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου
τῆς (μάλα μισητῆς) εἵνεκα ναυτιλίης.

Οὐκ εἰμ', οὐδ' ὑπ' ἐμεῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ' ἂν ἐκεῖνος ἐμεῦ τεθνηότος οὔτ' ἀνιῷτο,
οὔτε κατὰ βλεφάρων δάκρυα θερμὰ βάλοι.

Οὔτε σε κωμάζειν ἀπερύκομεν οὔτε καλεῦμεν·
ἀργαλέος παρεών, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.

Αἴθων μὲν γένος εἰμί, πόλιν δ' εὐτείχεα Θήβην
οἰκέω, πατρῴης γῆς ἀπερυκόμενος.

Μή μ' ἀφελῶς παίζουσα φίλους δένναζε τοκῆας,
Ἀργυρί· σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι, γύναι, κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὐδ' ἡμέας περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλή, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μήποτε παρ κλαίοντα καθεζόμενοι γελάσωμεν,
τοῖς αὐτῶν ἀγαθοῖς, Κύρν', ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενεῖ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥήδιον ἐξαπατᾶν.

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν
πταίσματα, τῆς γνώμης, Κύρνε, ταρασσομένης.

Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει θυμῷ δειλὰ χαριζομένη.

Οὐδέν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίνευ ἀληθοσύνης.

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός,
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

[ΕΛΕΓΕΙΩΝ Β.]

Σχέτλι' Ἔρως, μανίαι σε τιθηνήσαντο λαβοῦσαι·
ἐκ σέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολις,
ὤλετο δ' Αἰγείδης Θησεὺς μέγας, ὤλετο δ' Αἴας
ἐσθλὸς Ὀιλιάδης σῇσιν ἀτασθαλίαις.

Ὦ παῖ, ἄκουσον ἐμεῦ, δαμάσας φρένας· οὔ τοι ἀπειθῆ
μῦθον ἐρῶ τῇ σῇ καρδίῃ οὐδ' ἄχαριν·
ἀλλὰ τλῆθι νόῳ συνιεῖν ἔπος· οὔ τοι ἀνάγκη
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Μήποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος·
πολλάκι τοι παρ' ἐμοὶ κατὰ σοῦ λέξουσι μάταια
καὶ παρὰ σοὶ κατ' ἐμοῦ· τῶν δὲ σὺ μὴ ξυνίει.

Χαιρήσεις τῇ πρόσθε παροιχομένῃ φιλότητι,
τῆς γὰρ ἐπερχομένης οὐκέτ' ἔσῃ ταμίης.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ᾽ ἄλλοισιν ὁμίλει,
ἦθος ἔχων δόλιον, πίστιος ἀντίτυπον.

Οὔποθ᾽ ὕδωρ καὶ πῦρ συμμείξεται· οὐδέ ποθ᾽ ἡμεῖς
πιστοὶ ἐπ᾽ ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

Φρόντισον ἔχθος ἐμὸν καὶ ὑπέρβασιν, ἴσθι δὲ θυμῷ,
ὥς σ᾽ ἐφ᾽ ἁμαρτωλῇ τείσομαι ὡς δύναμαι.

Παῖ, σὺ μὲν (αὖθ᾽), ὡς ἵππος, ἐπεὶ κριθῶν ἐκορέσθης,
αὖθις ἐπὶ σταθμοὺς ἤλυθες ἡμετέρους,
ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλὸν
κρήνην τε ψυχρὴν ἄλσεά τε σκιερά.

Ὄλβιος, ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.

Ὅστις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους
καὶ κύνας, οὔποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

Ὦ παῖ, κιλλύροισι πολυπλάγκτοισιν ὁμοι(οῖ)
ὀργήν· ἄλλοτε τοῖς, ἄλλοτε τοῖσι φιλεῖ.

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ᾽ ἐπίκειται
καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.

Ὦ παῖ, ὅς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
οὐδέ τις ἀντ᾽ ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·
οὐδέν πώ μ᾽ ὤνησας· ἐγὼ δὲ σὲ πολλάκις ἤδη
εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

Παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵππος
ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,
ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·
ὣς δ' αὕτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοσύνης ἀπὸ μὲν νόον ὤλεσας ἐσθλόν,
αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν
ἠκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη·
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆσον,
εἶσιν ἐπ' ἀνθρώπους σπέρμα φέρων κατὰ γῆς·
1278a *ὅστις σοι βούλευσεν ἐμεῦ πέρι καί σ' ἐκέλευσεν*
b *οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.*

c *Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς*
d *ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον.*

Οὐκ ἐθέλω σε κακῶς ἔρδειν, οὐδ' εἴ μοι ἄμεινον
πρὸς θεῶν ἀθανάτων ἔσσεται, ὦ καλὲ παῖ.
οὐ γὰρ ἁμαρτωλαῖσιν ἐπὶ σμικραῖσι κάθημαι·
τῶν δὲ καλῶν παίδων (οὔτις ἔτ' οὐκ) ἀδικῶν.

Ὦ παῖ, μή μ' ἀδίκει — ἔτι σοι καταθύμιος εἶναι
βούλομαι — εὐφροσύνῃ τοῦτο συνεὶς ἀγαθῇ·
⟨οὐ γάρ τοί με δόλῳ⟩ παρελεύσεαι οὐδ' ἀπατήσεις·
νικήσας γὰρ ἔχεις τὸ πλέον ἐξοπίσω.
ἀλλά σ' ἐγὼ τρώσω φεύγοντά με, ὥς ποτέ φασιν
Ἰασίου κούρην, παρθένον Ἰασίην,
ὡραίην περ ἐοῦσαν, ἀναινομένην γάμον ἀνδρῶν

φεύγειν· ζωσαμένη δ' ἔργ' ἀτέλεστα τέλει,
πατρὸς νοσφισθεῖσα δόμων, ξανθὴ Ἀταλάντη·
ὤχετο δ' ὑψηλὰς ἐς κορυφὰς ὀρέων,
φεύγουσ' ἱμερόεντα γάμον, χρυσῆς Ἀφροδίτης
δῶρα· τέλος δ' ἔγνω καὶ μάλ' ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖσιν ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μηδέ με σὴ φιλότης δώματα Περσεφόνης
οἴχηται προφέρουσα· θεῶν δ' ἐποπίζεο μῆνιν
βάξιν τ' ἀνθρώπων, ἤπια νωσάμενος.

Ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
δίζημ'· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὀργῆς· σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμὸν
φεύγεις, ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ' ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν· οὐκέτι δηρὸν
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Θυμῷ γνούς, ὅτι παιδείης πολυηράτου ἄνθος
ὠκύτερον σταδίου, τοῦτο συνεὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι, ὄβριμε παίδων,
Κυπρογενοῦς δ' ἔργων ἀντιάσεις χαλεπῶν,
ὥσπερ ἐγὼ νῦν ὧδ' ἐπὶ σοί· σὺ δὲ ταῦτα φύλαξαι,
μηδέ σε νικήσῃ παῖδ' (ἀδαῆ) κακότης.

Οὐκ ἔλαθες κλέψας, ὦ παῖ· καὶ γάρ σε διῶμαι·
τούτοις, οἵσπερ νῦν ἄρθμιος ἠδὲ φίλος
ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα,
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχεισθα φίλον.
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· σὲ δὲ μήτις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖσι φίλοις δὲ πόνος δεινὰ παθὼν γενόμην.

Ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
Κύπρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῷ,
γνοὺς ἔρος ὡς χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.

Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, τρέψον δ' αὖθις ἐς εὐφροσύνας·
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῷ
μέτρ' ἥβης τελέσαντ' ἔργματα σωφροσύνης.

Ὦ παῖ, ἕως ἂν ἔχῃς λείην γένυν, οὔποτε σαίνων
παύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδοῦν ἔτι καλόν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν· ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἰδέο μ', ὦ παῖ <καλέ>, διδοὺς χάριν, εἴ ποτε καὶ σὺ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου
χρηΐζων καὶ ἐπ' ἄλλον ἐλεύσεαι· ἀλλά σε δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος ὅστις ἐρῶν γυμνάζεται, οἴκαδε <δ'> ἐλθὼν
εὕδει σὺν καλῷ παιδὶ πανημέριος.

Οὐκέτ' ἐρῶ παιδός, χαλεπὰς δ' ἀπελάκτισ' ἀνίας,
μόχθους τ' ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς εὐστεφάνου Κυθερείης·
σοὶ δ', ὦ παῖ, χάρις ἔστ' οὐδεμία πρὸς ἐμοῦ.

Αἰαῖ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισιν
πᾶσι μάλ' ἐκφαίνει, κοὐκ ἐθέλοντος ἐμοῦ·

τλήσομαι οὐ κρύψας ἀεκούσια πολλὰ βίαια·
οὐ γὰρ ἐπ' αἰκελίῳ παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς,
ἁρπάξας δ' ἐς Ὄλυμπον ἀνήγαγε, καί μιν ἔθηκεν
δαίμονα, παιδείης ἄνθος ἔχοντ' ἐρατόν.
οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγὼ
ἐξεδάμην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
ὄφρα τέλειος ἔῃ, Κύρνε, νέοισιν ἔρως·
ἢν μὲν γὰρ τελέσῃ, γλυκὺ γίνεται· ἢν δὲ διώκων
μὴ τελέσῃ, πάντων τοῦτ' ἀνιηρότατον.

Αἰεὶ παιδοφίλῃσιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.
χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥσπερ κληματίνῳ χεῖρα πυρὶ προσάγειν.

Ναῦς πέτρῃ προσέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

Οὐδαμά σ' οὐδ' ἀπεὼν δηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστε με μὴ σε φιλεῖν.

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ' αὐτοῦ καί μου παῦρ' ἐπάκουσον ἔπη.

Παιδός τοι χάρις ἐστί· γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ' αἰεὶ τὸν παρεόντα φιλεῖ.

Παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ' ἀποθέσθαι·
πολλὸν δ' εὑρέσθαι ῥήτερον ἢ τελέσαι.
μυρία δ' ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ' ἐσθλά·
ἀλλ' ἔν τοι ταύτῃ καί τις ἔνεστι χάρις.

Οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ' ὑπὸ πᾶσαν
αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.

Ὄλβιος ὅστις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
οὐδέ οἱ ἐν πόντῳ νὺξ ἐπιοῦσα μέλει.

Καλὸς ἐὼν κακότητι φρενῶν δειλοῖσιν ὁμιλεῖς
ἀνδράσι, καὶ διὰ τοῦτ' αἰσχρὸν ὄνειδος ἔχεις,
ὦ παῖ· ἐγὼ δ' ἀέκων τῆς σῆς φιλότητος ἁμαρτών,
ὠνήμην ἔρδων οἷά τ' ἐλεύθερος ὤν.

Ἄνθρωποί σ' ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα
ἐλθεῖν Κυπρογενοῦς . . .

. . ⟨Κυπρογενοῦς⟩ δῶρον ἰοστεφάνου
γίνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
1385 *ἢν μὴ Κυπρογενὴς δῷ λύσιν ἐκ χαλεπῶν.*

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσὸν
Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν·
δαμνᾷς [δ'] ἀνθρώπων πυκινὰς φρένας, οὐδέ τίς ἐστιν
οὕτως ἴφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

XVII.
HIPPARCHUS.

1.

Μνῆμα τόδ' Ἱππάρχου· στεῖχε δίκαια φρονῶν.

2.

Μνῆμα τόδ' Ἱππάρχου· μὴ φίλον ἐξαπάτα.

XVIII.
[PIGRES.]

Μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος,
Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης.

XIX.
[EPICHARMUS.]

Εἰμὶ νεκρός, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐστίν·
εἰ δέ (τε) γῆ νεκρός ἐστ', οὐ νεκρός, ἀλλὰ θεός.

XX.
DIPHILUS.

στρέψας δὲ πώλους ὡς ὁ Μαντινεὺς Σῆμος,
ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

XXI.

PHRYNICHUS.

σχήματα δ' ὄρχησις τόσα μοι πόρεν, ὅσσ' ἐνὶ πόντῳ
κύματα ποιεῖται χείματι νὺξ ὀλοή.

XXII.

AESCHYLUS.

ΕΛΕΓΕΙΑ.

1.

Τυρσηνῶν γενεάν, φαρμακοποιὸν ἔθνος

2.

Κυανέη καὶ τούσδε μενεγχέας ὤλεσεν ἄνδρας
μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

3.

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

4.

βριθὺς ὁπλιτοπάλας, δάιος ἀντιπάλοις

XXIII.

SOPHOCLES.

ΕΛΕΓΕΙΑ.

1.

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

2.

Ὠιδὴν Ἡροδότῳ τεῦξεν Σοφοκλῆς ἐτέων ὢν
πέντ᾽ ἐπὶ πεντήκοντα . . .

[3.]

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ᾽ ἑτέραν
Βορρᾶς ὡμίλησε· σὺ δ᾽ οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

ΠΑΙΑΝΕΣ.

4.

⟨Ὦ Φλεγύα⟩ κούρα περιώνυμε, μᾶτερ ἀλεξιπό⟨νου⟩ . . .
⟨Φοῖβος⟩ ἀκειρεκόμας (σ᾽) ἐναρίθμι⟨ον⟩ . . .
. . . εσι⟨ν⟩ ευεπ . . .

XXIV.

ION.

ΕΛΕΓΕΙΑ.

1.

ὃν ⟨πόρε⟩ θυρσοφόρος μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων·
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,

ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῷ (ἐπορέ)ξατο πήχει
αἰθέρος. ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται μόνον ὄλβιον ἀνθρώποισιν,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τοῦ σὺ πάτερ, Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

2.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ χρυσ(οῦ
δῖνον) ἔχων χειρ(οῖν) νιζέτω εἰς ἔδαφος.
σπένδοντες δ' ἁγνῶς Ἡρακλέι τ' Ἀλκμήνῃ τε
Προκλέι Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν· ἴτω διὰ νυκτὸς ἀοιδή·
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

3.

Ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχουσα,
τὰς συμφωνούσας ἁρμονίας τριόδους,
πρὶν μέν σ' ἑπτάτονον ψάλλον δὶς τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

4.

ὢς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
 καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
 ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

4a.

αὐτὰρ ὅγ' ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει

4b.

τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων

[5.]

Χαῖρε μελαμπετάλοις, Εὐριπίδη, ἐν γυάλοισιν
 Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
 ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.

ΜΕΛΗ.

6.

⏖ –́
–́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́
⏑ –́ –́ –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ ⏑́
–́ – –́ ⏖ –́

ἄδαμον
παῖδα ταυρωπόν, νέον οὐ νέον, ἥδιστον πρόπολον
βαρυγδούπων ἐρώτων, οἶνον ἀερσίνοον,
ἀνθρώπων πρύτανιν

7.

– –́ ⏑ –́ ⏖ –́ – –́ ⏑ ⏑́
– –́ ⏑ –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ –́

Ἀοῖον ἀεροφοίταν ἀστέρα
μείνωμεν ἀελίου λευκοπτέρυγα πρόδρομον.

8.

–́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ –
–́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́
⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ – ⏑

οὐδ᾽ ὅγε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ᾽ ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ᾽ ὅγε δουλοσύνας προβέβουλεν.

XXIVa.

PHILIADES.

ἄνδρες τοί ποτ᾽ ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

XXV.

MELANTHIUS.

αὑτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ᾽ ἡμιθέων (ἀρεταῖς).

XXVI.

[HIPPO.]

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.

XXVII.

[EMPEDOCLES.]

1.

Παυσανίαν ἰητρὸν ἐπώνυμον, Ἀγχίτου υἱόν,
τόνδ᾽ Ἀσκληπιάδην πατρὶς ἔθαψε Γέλα·
ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
φῶτας ἀπέστρεψεν Περσεφόνης ἀδύτων.

2.

Ἄκρον ἰητρὸν Ἄκρων᾽, Ἀκραγαντῖνον πατρὸς ἄκρου,
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

XXVIII.

DIONYSIUS CHALCUS.

1.

Ὦ Θεόδωρε, δέχου τήνδε προπινομένην
τὴν ἀπ᾽ ἐμοῦ ποίησιν· ἐγὼ δ᾽ ἐπιδέξια πέμπω
σοὶ πρώτῳ Χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2.

Ἀγγελίας ἀγαθῆς δεῦρ᾽ ἴτε πευσόμενοι,
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ᾽ ἐμοί, καὶ τάδε μανθάνετε.

3.

κότταβον ἐνθάδε σοὶ τρίτον ἑστάναι οἱ δυσέρωτες
ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον· οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν ἀέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτατέαι.

4.

Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν.
τόνδε τὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

5.

καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται,
⟨μάρνανται⟩ περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλεν.

6.

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοις, ἢ τὸ ποθεινότατον;

7.

κραυγὴν Καλλιόπης

XXIX.

EURIPIDES.

1.

Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

[2.]

Ὦ τὸν ἀγήρατον πόλον αἰθέρος, ἥλιε, τέμνων,
ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος,
μητέρα παρθενικήν τε κόρην δισσούς τε συναίμους
ἐν ταὐτῷ φέγγει μοιραδίῳ φθιμένους;

3.

ΕΠΙΝΙΚΙΟΝ ΑΛΚΙΒΙΑΔΗΙ.

⏖ –́ ⏖ –́ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏖ ⏓
–́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ ⏓
– –́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́ –
– –́ ⏖ –́ ⏖ –́ –

σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ· καλὸν ἁ νίκα· ⟨τὸ⟩
κάλλιστον ⟨δ'⟩ ὃ μηδεὶς ἄλλος Ἑλλάνων ⟨ἔλαχες⟩,

ἅρματι πρῶτα δραμεῖν καὶ δεύτερα καὶ τρίτα⟨τα⟩,
βῆναί τ' ἀπονητὶ Διὸς στεφθέντ' ἐλαίᾳ
κάρυκι βοᾶν παραδοῦναι.

XXX.

PANARCES.

Αἶνός τίς ἐστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

XXXI.

HERMIPPUS.

ΙΑΜΒΟΙ.

ΤΡΙΜΕΤΡΑ.

1.

τὰς λευκερινεὼς δὲ χωρὶς ἰσχάδας

ΤΕΤΡΑΜΕΤΡΑ.

2.

Εἰς τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

3.

ὕστερον δ' αὐτ(ὴν) στρατηγ(ῶν εὖ συν)ειλωτισμένην
καὶ κασαλβάζουσαν εἶδον καὶ σεσαλακωνισμένην.

XXXII.

[THUCYDIDES.]

Μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών· τῇ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλὰς Ἀθῆναι· πλεῖστα δὲ μούσαις
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

XXXIII.

[ALCIBIADES.]

Βάπτε σύ μ' ἐν θυμέλησιν· ἐγὼ δέ σε κύμασι πόντου
βαπτίζων ὀλέσω νάμασι πικροτάτοις.

XXXIV.

[AGATHON.]

Ὤφελεν, ὡς ἀφανής, οὕτω φανερώτατος εἶναι
καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης.

XXXV.

EUENUS.

ΕΛΕΓΕΙΑ.

1.

Πολλοῖς ἀντιλεγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει·
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·

'σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.'
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥάστης εἰσὶ διδασκαλίας.

2.

Βάκχου μέτρον ἄριστον ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος·
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τοῦ θανάτου.

3.

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

4.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,
χωρὶς δὲ βλαβερὰ καὶ κακότητα φέρει.

5.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

6.

ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

7.

⟨ὕβρις,⟩
ἥτις κερδαίνουσ' οὐδέν, ὅμως ἀδικεῖ.

8.

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

9.

Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δὴ
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

XXXVI.
CRITIAS.

ΕΛΕΓΕΙΑ.

1. (1.)*)

Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα·
εἶτα δ' ὄχος Σικελὸς κάλλει δαπάνῃ τε κράτιστος·

Θεσσαλικὸς δὲ θρόνος γυίων τρυφερωτάτη ἕδρα·
εὐναίου δὲ λέχους ⟨ἔξοχα⟩ κάλλος ἔχει
Μίλητός τε Χίος τ', ἔναλος πόλις Οἰνοπίωνος·
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη
καὶ πᾶς χαλκός, ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ·
Φοίνικες δ' εὗρον γράμματ' ἀλεξίλογα·
Θήβη δ' ἁρματόεντα δίφρον συνεπήξατο πρώτη,
φορτηγοὺς δ' ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι·
τὸν δὲ τροχὸν γαίης τε καμίνου τ' ἔκγονον εὗρεν,
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
η τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

2. (2.)

καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστιν
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,

---

*) Numeri adiecti sunt editionis Bachianae.

μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κύκλῳ θιάσου
ἄγγεα . . .
⟨ταῦτα δὲ⟩ Λυδὴ χεὶρ εὗρ' Ἀσιατογενής,
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια, καὶ προκαλεῖσθαι
ἐξονομακλήδην, ᾧ προπιεῖν ἐθέλει.
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν· πρὸς δ' ὄμματ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει·
λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων·
νοῦς δὲ παρέσφαλται· δμῶες δ' ἀκόλαστον ἔχουσιν
ἦθος· ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν' εἰς ἱλαρὰν ἐλπίδα πάντας ἄγειν
εἴς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα·
τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης
πρός θ' ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς ὑγίειαν,
καὶ τὴν εὐσεβίης γείτονα σωφροσύνην.

αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προποσεις παραχρῆμα
τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ' ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

*2a.

ἦν Λακεδαιμόνιος Χείλων σοφός, ὃς τάδ' ἔλεξε
„μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά."

3. (4.)

πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

4. (5.)

ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

5. (3.)

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ·
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

6. (3.)

γνώμη δ' ἥ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὔργον ἔδρασα τόδε·
σφραγὶς δ' ἡμετέρας γλώσσης ἐπὶ τοῖσδεσι κεῖται.

---

7. (7.)

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

XXXVII.

[SOCRATES.]

1.

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν,
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

2.

Δήλι' Ἄπολλον χαῖρε καὶ Ἄρτεμι, παῖδε κλεεινώ.

3

οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.

XXXVIII.

ANTIMACHUS.

ΛΥΔΗ.

1.

φεύγοντας γαίης ἔκτοθι Δωτιάδος

2.

(ἔνθα) Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνας.

3.

εἶπε δὲ φωνήσας· 'Πόλυβε, θρεπτήρια τάσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας.'

†4.

. . . . τότε δὴ χρυσέῳ ἐν δέπαϊ
Ἠέλιον πόμπευεν ἀγακλυμένη Ἐρύθεια.

†5.

. οἳ τῶν μεγάλων ἕρκτορές εἰσι κακῶν.

†6

ἠύτε τις καύηξ δύπτη .
ἁλμυρὸν ἐς πέλαγος

XXXIX.

[PLATO.]

ΕΠΙΓΡΑΜΜΑΤΑ.

1.

Τὴν ψυχήν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

2.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη τῆς σῆς παρθενίης μετάδος·
εἰ δ' ἄρ' ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

3.

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις· ἀλλ' ἐπίνευσον,
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

4.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἥ (ποτ') ἐραστῶν
ἑσμὸν ἐπὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος οὐ δύναμαι.

5.

Τὸν Νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
τὸν λιβάσιν κούφαις τερπόμενον βάτραχον

χαλκῷ μορφώσας τις ὁδοιπόρος εὖχος ἔθηκεν,
  καύματος ἐχθροτάτην δίψαν ἀκεσσάμενος.
πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ, εὔκαιρον ἀείσας
  κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.
φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
  [εὗρε πόσιν γλυκερῶν ὧν ἐπόθει ναμάτων.]

6.

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς,
  Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

7.

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶν
  Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις·
σοὶ δέ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
  δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν·
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
  ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

8.

Νῦν ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλός,
  ὤπται καὶ πάντῃ πᾶς τις ἐπιστρέφεται.
θυμέ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσει
  ὕστερον· οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

9.

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
  Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι,
  γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

10.

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
  κείμεθα, φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

11.

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀίδης.

12.

Ναυηγόν με δέδορκας· ὃν ἡ κτείνασα θάλασσα
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσεν,
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος·
κεῖνο καὶ ἐνδύσαιτο καὶ εἰς Ἀίδαο φέροιτο,
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.

13.

Πλωτῆρες, σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

14.

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

15.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

16.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης·
πάντας δ' ἀκρεμόνας τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη·
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· ἦ γὰρ ἔγωγε
δυσδαίμων ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

17.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

18.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
ῥῖψεν, ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

19.

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα καὶ μορφὴν καὶ φύσιν ἠδὲ τύχην.

20.

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως·
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

21.

Εἰκόνα πέντε βοῶν μικρὰ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας·
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοίδια· νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

22.

Τὸν Βρομίου Σάτυρον τεχνήσατο δαιδαλέη χείρ,
μούνη θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ·
εἰμὶ δὲ ταῖς Νύμφαισιν ὁμέψιος· ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

23.

Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονυσου,
λείβω δ' ἀργυρέων ὕδατα Ναϊάδων·
θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα . . .

24.

Σιγάτω λάσιον Δρυάδων λέπας οἵ τ' ἀπὸ πέτρας
κρουνοὶ καὶ βληχὴ πουλυμιγὴς τοκάδων,

αὐτὸς ἐπεὶ σύριγγι μελίζεται εὐκελάδῳ Πάν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες νύμφαι, νύμφαι Ἁμαδρυάδες.

25.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκνοῖς κῶνον ὑπὸ ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σῦριγξ
θελγομένῳ στάξει κῶμα κατὰ βλεφάρων.

26.

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
'φεῦ φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης';

27.

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθεν,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην·
πάντῃ δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ
φθέγξατο· 'ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;'
Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσ', ("Ἄρης οἵαν) ἤθελε, τὴν Παφίην.

28.

Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδαρος·
ἀλλ' οὕτως ἔστης, ὥς ποτε κρινομένη.

29.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

30.

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
διζόμεναι, ψυχὴν εὗρον Ἀριστοφάνους.

31.

Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,
ἧς καὶ ἐπὶ ῥυτίδων πικρὸς ἔπεστιν ἔρως·
ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

32.

Ἁ Κύπρις Μούσαισι· 'κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.'
χαἰ Μοῦσαι ποτὶ Κύπριν· '"Αρει τὰ στωμύλα ταῦτα·
ἡμῖν δ' οὐ πέτεται τοῦτο τὸ παιδάριον.'

33.

ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης·
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο·
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ
εὗδεν μειδιόων· ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
κηροχύτ(ης ἑσμὸς) λαροῖς ἐπὶ χείλεσι βαῖνον.

XL.

SCYTHINUS.

ΙΑΜΒΟΙ.

1.

ἣν ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων, πᾶσαν ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

[2.]

Ἦλθέν μοι μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
Ἰλισσὸς πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα, καὶ μετὰ τούτων
πάσας καὶ μικρὰς καὶ μεγάλας χάριτας,
καὶ πρὸς ἀναγνῶναι φωνὴν μέλι, καὶ τὸ φιλῆσαι
χείλεα, καὶ τὸ λαβεῖν ἔνδον ἀμεμπτότατον.
καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον· ἢ ῥ' ἀγρυπνήσω
πολλάκι, τῇ κενεῇ Κύπριδι χειρομαχῶν.

[3.]

Ὀρθὸν νῦν ἕστηκας, ἀνώνυμον, οὐδὲ μαραίνῃ,
ἐντέτασαι δ' ὡς ἂν μήποτε παυσόμενον;
ἀλλ' ὅτε ⟨μοι⟩ Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτὸν
πάντα διδοὺς ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
τείνεο καὶ ῥήσσου καὶ δάκρυε, πάντα ματαίως·
οὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.

XLI.

[SIMMIAS THEBANUS.]

1.

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου,
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις (ὃν) θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
τύμβος ἔχει καὶ γῆς ὀλίγον μέρος· ἀλλ' ὁ περισσὸς
αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.

2.

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
ἑρπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πέταλον πάντῃ θάλλοι ῥόδου, ἥ τε φιλορρὼξ

ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐμαθίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
ἤσκησεν Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

XLII.

ZEUXIS.

Ἡράκλεια πατρίς, Ζεῦξις δ' ὄνομ'· εἰ δέ τις ἀνδρῶν
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω . . .
. . δοκῶ δ' ἡμᾶς οὐχὶ τὰ δεύτερ' ἔχειν.

XLIII.

PARRHASIUS.

1.

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψεν
Παρράσιος κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς (ῥά μ') ἔφυσε
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

2.

Εἰ καὶ ἄπιστα κλύουσι, λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

3.

οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν
Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

XLIV
[PRAXITELES.]

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ βάλλω
οὐκέτ' ὀιστεύων, ἀλλ' ἀτενιζόμενος.

XLV.
DIONYSIUS MINOR.

1.

Χαῖρε, καὶ ἡδόμενον βίοτον διάσωζε τυράννου

2.

Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστῶν

XLVI.
MAMERCUS.

Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσιν.

XLVII.
ASTYDAMAS.

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην ἢ κεῖνοι ἅμ' ἡμῖν,
οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν,
ὡς ἐπ' ἀληθείας ἐκρίθην ἀφεθεὶς παράμιλλος·
νῦν δὲ χρόνῳ προέχουσ', οἷς φθόνος οὐχ ἕπεται.

XLVIII.

PHILISCUS.

⟨Νῦν,⟩ ὦ Καλλιόπης θύγατερ, πολυηγόρε Φρόντι,
δείξεις, εἴ τι φρονεῖς καί τι περισσὸν ἔχεις·
(τῷ) γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντ(ι) καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον
δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λυσίᾳ ὕμνον,
(δῶρα) καταφθιμέν(ῳ) καὶ (στέφος) ἀθάνατον,
ὅς τό τ' ἐμῆς ψυχῆς δείξει φιλέταιρον ἅπασιν
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

XLIX.

APHAREUS.

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκεν
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

L.

SPEUSIPPUS.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος,
ψυχὴ δ' ἰσόθεος τάξιν ἔχει μακάρων.

LI.

[DEMOSTHENES.]

Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

LII.
ARISTOTELES.

ΕΛΕΓΕΙΑ.

1

(*Πρὸς Εὔδημον.*)

ἐλθὼν δ' ἐς κλεινὸν Κεκροπίης δάπεδον
εὐσεβέως σεμνῆς φιλίης ἱδρύσατο βωμὸν
ἀνδρός, ὃν οὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις·
ὃς μόνος ἢ πρῶτος θνητῶν κατέδειξεν ἐναργῶς
οἰκείῳ τε βίῳ καὶ μεθόδοισι λόγων,
ὡς ἀγαθός τε καὶ εὐδαίμων ἅμα γίνεται ἀνήρ·
οὐ νῦν δ' ἔστι λαβεῖν οὐδενὶ ταῦτα ποτέ ...

2.

Καλλιτέκνου μητρὸς θύγατερ

3.

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

ΕΠΗ.

4.

Ἁγνὲ θεῶν πρέσβισθ' ἑκατηβόλε

ΥΜΝΟΣ ΕΙΣ ΕΡΜΕΙΑΝ.

5.

⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ –
– ∸ ⏑ ∸ – ∸ ⏑ ·
∸ ⏖ ∸ ⏖ ·
∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ –
∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
∸ ⏑ ∸ ∸ ⏑ ∸ –
∸ ⏑ ∸ – ∸ ⏖ ∸
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ –

Ἀρετά, πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζαλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις
καρπὸν ἐς ἀθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακαυγήτοιό θ' Ὕπνου.
σεῦ δ' ἕνεχ' οὑκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ἔργοις
σὰν ἀγρεύοντες δύναμιν·
σοῖς δὲ πόθοις Ἀχιλεὺς Αἴας τ' Ἀίδαο δόμους ἦλθον·
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς καὶ Ἀταρνέος ἔντροφος
ἀελίου χήρωσεν αὐγᾶς·

τοιγὰρ ἀοίδιμος ἔργοις, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας αὔξουσαι φιλίας τε γέρας βεβαίου.

LIII.

CERCIDAS.

ΙΑΜΒΟΙ.

1.

Ἦν καλλιπύγων ξεῦγος ἐν Συρακούσαις.

ΜΕΛΙΑΜΒΟΙ.

2.

– –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

οὐ μὰν ὁ πάρος γα Σινωπεὺς
τῆνος ὁ βακτροφόρας, διπλοείματος, αἰθεριβόσκας·
ἀλλ' ἀνέβα χεῖλος ποτ' ὀδόντας ἐρείσας
καὶ τὸ πνεῦμα συνδακών·
ἦς γὰρ ἀλαθέως
Διογένης Ζανὸς γόνος οὐράνιός τε κύων.

3.

· · ⏑ –́ – –́ ⏑ –́ –
– –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́

⟨οὐδὲ⟩ τὸ τᾶς ῥικνᾶς χελώνας
ἀμναμόνευ'· οἶκος γὰρ ἄριστος ἀλαθέως καὶ φίλος.

4.

–́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ ⏑́

Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει·
πῶς κ' ἴδοιεν τὰν σοφίαν πέλας ἑστακυῖαν
ἀνέρες, ὧν τὸ κέαρ παλῷ σέσακται
καὶ δυσεκνίπτῳ τρυγί;

5.

– –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –

ἐν κριομύξοις ἀνδράσιν εὐδοκιμήσει.

LIV.

AESCHRIO.

ΙΑΜΒΟΙ.

1.

Μήνη τὸ καλὸν οὐρανοῦ νέον σίγμα

*2.

Στενὸν καθ' Ἑλλήσποντον, ἐμπόρων χώρην,
ναῦται θαλάσσης ἐστρέφοντο μύρμηκες.

*3.

δ δ' ἐξελὼν ἱμάντα φορτίου ζώνην

*4.

ἶρις δ' ἔλαμψε, καλὸν οὐρανοῦ τόξον.

*5.

καὶ πίσσαν ἑφθήν, ᾗ θύραι μυρίζονται.

6.

καὶ θεῶν ⟨βρῶμα⟩
ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρεν.

7.

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι·
μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκρην κάμπτων
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην·
οὐ γὰρ μὰ τὸν Ζῆν', οὐ μὰ τοὺς κάτω κούρους
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
Πολυκράτης δέ, τὴν γενὴν Ἀθηναῖος,
λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
ἔγραψεν ἅσσ' ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.

ΕΦΕΣΗΙΣ.

8.

σύν ῥ' ἐχύθη ψυχήν, πουλύς τέ μιν ἔσχ' ὀρυμαγδός.

LV.

CASTORIO.

Σὲ τὸν βολαῖς νιφοκτύποις δυσχείμερον
ναίονθ' ἕδραν, θηρονόμε Πάν, χθόν' Ἀρκάδων,
κλήσω γραφῇ τῇδ' ἐν σοφῇ πάγκλειτ' ἔπη

συνθείς, ἄναξ, δύσγνωστα μὴ σοφῷ κλύειν,
μουσοπόλε θήρ, κηρόχυτον ὃς μείλιγμ' ἱεῖς.

LVI.

CRATES.

ΠΑΙΓΝΙΑ.

1.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥτε μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.

ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
χρήματα δ' οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου ὄλβον
μύρμηκός τ' ἄφενος χρήματα μαιόμενος,
ἀλλὰ δικαιοσύνης μετέχειν καὶ πλοῦτον ἀγινεῖν
εὔφορον εὔκτητον, τίμιον εἰς ἀρετήν.
τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ' ἁγνὰς
οὐ δαπάναις τρυφεραῖς, ἀλλ' ἀρεταῖς ὁσίαις.

2.

Χαῖρε, θεὰ δέσποινα, σοφῶν ἀνδρῶν ἀγάπημα,
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης·
σὴν ἀρετὴν τιμῶσιν, ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

3.

τῶν δὲ κράτει ψυχῆς ἥθει ἀγαλλομένη

4.

καὶ μὴν Στίλπων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα
ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς·
ἔνθα τ' ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

5.

Φλιάσιόν τ' Ἀσκληπιάδην καὶ ταῦρον Ἐρετρῆ

6.

καὶ μὴν Μικκύλον εἰσεῖδον . . .
τῶν ἐρίων ξαίνοντα γυναῖκά τε συγξαίνουσαν,
τὸν λιμὸν φεύγοντας ἐν αἰνῇ δηιοτῆτι.

7.

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ
καλὴ καὶ πίειρα, περίρρυτος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν,
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους·
ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

8.

οὔθ' ὑπὸ χρυσείων δουλουμένη οὔθ' ὑπ' ἐρώτων
τηξιπόθων οὔτ' (εἴ) τι συνέμπορ(όν ἐστι) φίλυβρι

ἡδονῇ ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκαμπτοι
ἀθάνατον βασίλειαν ἐλευθερίαν [τ'] ἀγαπῶσιν.

9.

μὴ πρὸ φακῆς λοπάδ' αὔξων
ἐς στάσιν ἄμμε βάλῃς

10.

κόγχον καὶ κύαμον σύναγ' ⟨ὦ φίλε⟩, κἂν τάδε δράσῃς
ῥηϊδίως στήσεις ⟨στάσεως⟩ πενίας τε τρόπαιον.

11.

Ταῦτ' ἔχω, ὅσσ' ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ Μουσῶν
σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν.

12.

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

13.

Στείχεις δή, φίλε κυρτών,
βαίνεις τ' εἰς Ἀίδαο δόμους κυφὸς διὰ γῆρας.

14.

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν,
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

15.

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος·
ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος.

16.

Κράτης Κράτητα χρημάτων ἀποστερεῖ.

ΤΡΑΓΩΙΔΙΑΙ.

17.

Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

18.

Οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει
θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν.

†18a.

τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

19.

ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

[20.]

ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν, ἂν δ' ἔλθῃ ποτε,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

LVII.
THEOCRITUS CHIUS.

Ἑρμίου εὐνούχου τε καὶ Εὐβούλου ἅμα δούλου
μνῆμα κενὸν κενόφρων τεῦξεν Ἀριστοτέλης·
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν
ἀντ' Ἀκαδημείας Βορβόρου ἐν προχοαῖς.

LVIII.

[MENANDER.]

Χαῖρε, Νεοκλείδα δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.

LIX.

SODAMUS.

Τοῦτ' ἔλεγεν Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκεν·
μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά.

LX.

CLEON.

τοῦτο μὲν οὖν ῥέξαντες ἀολλέες ἠγερέθοντο
βαυριόθεν βριαροὶ Γοργοφόνου νέποδες.

LXI.

FRAGMENTA ELEGIACA ADESPOTA.

1.

ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων.

2.

Ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται·
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη.

3.

ἦ γὰρ ἔπος τόδ' ἀληθές, ὅτ' οὐ μόνον ὕδατος αἶσαν,
ἀλλά τι καὶ χλεύης οἶνος ἔχειν ἐθέλει.

4.

Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

5.

Θριαὶ <*δὴ*> *τὴν γρηῦν ἐπιπνείουσι κορώνην.*

6.

ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.

7.

Οὔ μοι ἔτ' εὐκελάδων ὕμνων μέλει, οὐδ' ἔτι μολπῆς.

*8.

ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχεν.

9.

τόλμα (δή), κἤν τι τρηχὺ νέμωσι θεοί.

10.

ἢ θεὸς ἢ κρέσσων (δή τις)· ὀνησόμεθα.

11.

ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

12.

τὸν φρουρὸν φρουρεῖν χρή, τὸν ἐρῶντα δ' ἐρᾶν.

*13.

ἡμεῖς δ' εἰς Ἕλλης πόντον ἀπεπλέομεν.

*14.

κοῦραι ἐλαφρὰ ποδῶν ἴχνι' ἀειράμεναι

15.

. . . . *ὀλίγης ἐστὶ διδασκαλίας.*

16.

Οὐκέτι γιγνώσκουσιν Ἀθηναῖοι Μεγαρῆας.

17.

ὃς νῦν ὀρχηστῶν πάντων ἀταλώτατα παίζεις

18.

ὧδέ ποτ' ἐν Τύρινθι

LXII.

FRAGMENTA IAMBICA ADESPOTA.

1.

Ξάνθη παλαιῇ γρηὶ πολλῆσιν φίλη

2.

περὶ σφυρὸν παχεῖα μισητὴ γυνή

3.

δίφρου τέτυκται βλῶσις, εὔζυγον τέρας.

4.

ἀνθεῦσαν ἀγαθοῖς πᾶσιν, οἷς θάλλῃ πόλις

5.

Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεος

6.

πολλὰ δ' ἐν μεταιχμίῳ
Νότος κυλίνδει κύματ' εὐρείης ἁλός.

7.

οὐκ ἀξιῶ μικῶν σε, μεγάλα δ' οὐκ ἔχω.

8.

γηρεὶς ἐν οἰκίοισιν

9.

καὶ παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη

10.

βαῖνε λάξ, ἐπὶ τραχήλου βαῖνε, καὶ πέλα χθονί.

*11.

δῆμος ἄστατον κακὸν
καὶ θαλάσσῃ πάνθ' ὁμοῖον ὑπ' ἀνέμου ῥιπίζεται,
καὶ γαληνὸς ἢν τύχῃ, πρὸς πνεῦμα βραχὺ κορύσσεται,
κἤν τις αἰτία γένηται, τὸν πολίτην κατέπιεν.

---

*12.

. . ὁ τὸν κυσὸν τρωθείς·
'ᾔδεις, ὅπου μάλιστα τοῦ κράνους χρεία.'

13.

. . . 'βαὺ βαὺ' καὶ κυνὸς φωνὴν ἵεις.

14.

'Εγὼ μέν, ὦ Λεύκιππε, δεξιῇ σίττῃ

*15.

Κέρδαιν', ἑταῖρε, καὶ θέρους καὶ χειμῶνος.

*16.

μέλλοντας ἤδη παρθένοις ἀλινδεῖσθαι

17.

(πλεῖα) γὰρ τρυγὸς γλυκείης, ἣν ἔτικτεν 'Ανθηδών.

18.

ἵππος ὄνῳ· 'πρὸς κέντρα μὴ λάκτιζέ πω'.

19.

σοφῶς δ βοῦς ἔφασκεν ἀστράβην ἰδών·
'οὐκ ἔστ' ἐμὸν τὸ πρᾶγμα, πολλὰ χαιρέτω'.

*20.

ἀλλ' ἦ λύκος τὰς αἶγας ἐκκαλεῖ μολών.

21.

ἀρχῶν ἄκουε κἂν δοκῇ κἂν μὴ δοκῇ

*22.

Ἄβδηρα καλὴ Τηίων ἀποικίη.

23.

ἕκητι Συλυσῶντος εὐρυχωρίη

24.

ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφος.

*25.

τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι.

26.

μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

27.

⟨τοῖον⟩ γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος ...

28.

φοινικελίκτην καὶ λόγων ἀλαζόνα

*29.

ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον ...

30.

σκληρὰν ἄκαρπον καὶ φυτεύεσθαι κακήν.

31.

ἥ ⟨τ'⟩ ἄγνος ἀνθεῖ χὠ βότρυς πεπαίνεται

32.

⏑ – ⏑ *δῶρα καὶ θεοὺς παρήπαφεν.*

33.

ἐμοῦ θανόντος γαῖα μειχθήτω πυρί·
οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.

34.

δεσπότην κεκαρμένοι

35.

ἐρρέτω φίλος σὺν ἐχθρῷ

36.

ἀλλ' ἕπου χώρας τρόποις

37.

⟨τὴν⟩ ἐπ' Αἰνύρων ὁδόν

38.

πατρόθεν πορδηκίδαι

POETAE MELICI.

I.

EUMELUS.

ΠΡΟΣΟΔΙΟΝ ΕΙΣ ΔΗΛΟΝ.

τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο Μοῖσα
ἁ καθαρὰν <κίθαριν> καὶ ἐλεύθερα σάμβαλ' ἔχοισα

II.

TERPANDER.

1.

Ζεῦ, πάντων ἀρχά, πάντων ἀγήτωρ,
Ζεῦ, σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

2.

Ἀμφί μοι αὖτε ἄναχθ' ἑκαταβόλον ἄειδ', ὦ φρήν

2a.

ἀλλὰ ἄναξ, μάλα χαῖρε

3.

ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια
καὶ δίκα εὐρυάγυια, καλῶν ἐπιτάρροθος ἔργων.

[4.]

Σοὶ δ' ἡμεῖς τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

III.

ALCMAN.*)

ΠΑΡΘΕΝΕΙΑ.

1. (1. 2.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́
⏓ –́ ⏑ –́ ⏑ –́ ⏓ –́ ⏑ –́ –

Μῶσ' ἄγε, Μῶσα λίγεια πολυμμελὲς
αἰενάοιδε, μέλος
νεοχμὸν ἄρχε παρσένοις ἀείδην

καὶ ναὸς ἁγνὸς εὐπύργω Σεράπνας

χερσόνδε κωφὸν ἐν φύκεσσι πιτνεῖ.

2. (3.)

– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑ –́ – –́ ⏑ . .

Κάστωρ τε πώλων ὠκέων δματῆρες, ἱππόται σοφοί,
καὶ Πωλυδεύκης κυδρός

3. (31.)

ἐγὼν δ' ἀείσομαι
ἐκ Διὸς ἀρχομένα.

4. (29.)

(*Εἰς Ἥραν.*)

καὶ τὶν εὔχομαι φέροισα
τόνδ' ἑλιχρύσω πυλεῶνα
κηρατῶ κυπαίρω.

---

*) Numeri adiecti sunt editionis Welckerianae.

5.



P. I.

α′ ⟨τὸν ἔκτανε⟩ Πωλυδεύκης.
(οὐκ ἐγὼν) Λύκαισον ἐν καμοῦσιν ἀλέγω,
⟨ἀλλ'⟩ Ἐναρσφόρον τε καὶ Σέβρον ποδώκη,
⟨Βωκόλο⟩ν τε τὸν βιατάν,
⟨Ἱππόθω⟩ν τε τὸν κορυστάν,
Εὐτείχη τε, ϝάνακτα τ' Ἀρήιον,
⟨Ἄκμον⟩ά τ' ἔξοχον ἡμισίων.

β′ ⟨καὶ στρατῶ⟩ τὸν ἀγρέταν
⟨Σκαῖον⟩ μέγαν Εὔρυτόν τε,
⟨Ἄρεος ἂν⟩ πώρω κλόνον
⟨Ἄλκωνά⟩ τε τὼς ἀρίστως
⟨ἄνδρας οὐ⟩ παρήσομες.
⟨κράτησε γ⟩ὰρ Αἶσα παντῶν
⟨καὶ Πόρος,⟩ γεραιτάτοι

⟨σιῶν· ἀπ⟩έδιλος ἀλκά.
⟨μήτις ἀνθ⟩ρώπων ἐς ὠρανὸν ποτήσθω,
⟨μηδὲ πει⟩ρήτω γαμῆν τὰν Ἀφροδίταν,
⟨Κυπρίαν⟩ ἄνασσαν, ἤ τιν'
⟨ἠυειδ⟩ῆ παίδα Πόρκω
⟨εἰναλίω. Χά⟩ριτες δὲ Διὸς δόμον
⟨εἰσβαίνου⟩σιν ἐρογλεφάροι.

γ′ – ⏑ – ⏑ – τάτοι
⏒ – ⏑⏑ – α δαίμων
– ⏑ – ⏑ – φίλοις
⏒ – ⏑ ἔδωκε δῶρα
– ⏑ – ⏑ γᾶ ῥέον·
⏒ – ⏑⏑ ὤλεσ' ἥβα
– ⏑ – ⏑ – ⟨θ⟩ρόνον
⏒ – ⏑⏑ – ⟨μα⟩ταίας
– ⏑ – ⏑ – ἔβα· τῶν δ' ἄλλος ἰῷ,
⟨ἔφθιτ', ἄλλος δ' αὖτε⟩ μαρμάρῳ μυλάκρῳ.
⟨πάντας ἔστ' ἀνεῖ⟩λεν Ἅιδας,
⟨νηπίως, οἳ Κᾶρας⟩ αὐτοὶ
⟨ἀφραδίαισιν ἐπέσ⟩πον· ἄλαστα δὲ
ἔργα πάσον κακὰ μησαμένοι. P. II.

δ′ ἔστι τις σιῶν τίσις·
ὁ δ' ὄλβιος, ὅστις εὔφρων
ἁμέραν ⟨δι⟩απλέκει
ἄκλαυστος. ἐγὼν δ' ἀείδω
Ἀγιδῶς τὸ φῶς· ὁρῶ
Ϝ' ὥτ' ἄλιον, ὅνπερ ἆμιν
Ἀγιδὼ μαρτύρεται
φαίνην· ἐμὲ δ' οὔτ' ἐπαινῆν

οὔτε μωμήσθαι νιν ἁ κλεννὰ χοραγὸς
οὐδ' ἀμῶς ἐῇ· δοκεῖ γὰρ ἤμεν αὔτα
ἐκπρεπὴς τῶς, ὥσπερ αἴ τις
ἐν βοτοῖς στάσειεν ἵππον
παγὸν ἀεθλοφόρον καναχάποδα
τῶν ὑποπετριδίων ὀνείρων.

ε΄ ἦ οὐχ ὁρῇς; ὁ μὲν κέλης
Ἐνετικός· ἁ δὲ χαίτα
τᾶς ἐμᾶς ἀνεψιᾶς
Ἁγησιχόρας ἐπανθεῖ
χρυσὸς ὣς ἀκήρατος·
τό τ' ἀργύριον πρόσωπον —
διαφάδαν τί τοι λέγω;
Ἁγησιχόρα μὲν αὕτα.
ἁ δὲ δευτέρα πεδ' Ἀγιδὼν τὸ ϝεῖδος
ἵππος Εἰβήνῳ Κολαξαῖος δραμεῖται.
ταὶ πελειάδες γὰρ ἆμιν
Ὀρθρίᾳ φᾶρος φεροίσαις
νύκτα δι' ἀμβροσίαν ἅτε σήριον
ἄστρον ἀϝειρομέναι μάχονται.

ς΄ οὔτε γάρ τι πορφύρας
τόσσος κόρος, ὥστ' ἀμύναι,
οὔτε ποικίλος δράκων
παγχρύσιος, οὐδὲ μίτρα
Λυδία, νεανίδων
ἰανογλεφάρων ἄγαλμα, P. III.
οὐδὲ ταὶ Ναννῶς κόμαι,
ἀλλ' οὐδ' Ἀρέτα σιειδής,
οὐδὲ Συλακίς τε καὶ Κλεησισήρα,

οὐδ᾽ ἐς Αἰνησιμβρότας ἐνθοίσα φασεῖς·
‘Ἀσταφίς τέ μοι γένοιτο
καὶ ποτιγλέποι Φιλύλλα,
Δαμαρέτα τ᾽ ἐρατά τε Ϝιανθεμίς᾽ —
ἀλλ᾽ Ἁγησιχόρα με τηρεῖ.

ζ′ *οὐ γὰρ ἁ καλλίσφυρος*
Ἁγησιχόρα πάρ᾽ αὐτεῖ;
Ἀγιδοῖ δ᾽ ἴκταρ μένει,
θωστήριά τ᾽ ἅμ᾽ ἐπαινεῖ;
ἀλλὰ τᾶν εὐχάς, σιοί,
δέξασθε· (σι)ῶν γὰρ ἄνα
καὶ τέλος. χοροστάτις,
εἴποιμί κ᾽, ἐγὼν μὲν αὐτὰ
παρσένος μάταν ἀπὸ θράνω λέλακα
γλαύξ — ἐγὼν δὲ τᾶ μὲν Ἀώτι μαλίστα
ἀνδάνην ἐρῶ· πόνων γὰρ
ἇμιν ἰάτωρ ἔγεντο —,
ἐξ Ἁγησιχόρας δὲ νεάνιδες
⟨εἰρ⟩ήνας ἐρατᾶς ἐπέβαν.

η′ *τῷ τε γὰρ σηραφόρῳ*
αὐτῶς ἕ⟨πεται⟩ μέγ᾽ (ἅρμα),
τῷ κυβερνάτᾳ δὲ χρὴ
κὴν νᾶ μάλ᾽ ⟨αἴεν⟩ ὤκα.
ἁ δὲ τᾶν Σηρηνίδων
ἀοιδοτέρα μὲν ⟨οὐχί⟩,
σιαὶ γάρ, ἀντὶ δ᾽ ἕνδεκα
παίδων, δεκ⟨ὰς οἵ᾽ ἀεί⟩δει.
φθέγγεται δ᾽ ⟨ἄρ᾽⟩ ὥτ᾽ ἐπὶ Ξάνθω ῥοαῖσι
κύκνος· ἁ δ᾽ ἐπιμέρῳ ξανθᾷ κομίσκᾳ ...

6.

μάκαρς ἐκεῖνος

7. (11.)

– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ – ⏑ ⏑́⏑ ⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ ⏑̇
– ⏑́⏑ ⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ – ⏑ –́ ⏑ –́ –

Οὐκ ἦς ἀνὴρ ἄγροικος οὐδὲ
σκαιὸς οὐδὲ παράσοφός τις
οὐδὲ Θεσσαλὸς γένος
οὐδ' Ἐρυσιχαῖος οὐδὲ ποιμήν,
ἀλλὰ Σαρδίων ἀπ' ἀκρᾶν.

7 a.

Εμέ, Λατοΐδα, τέο δ' ἀρχέχορον

---

8. (12.)

Οὔ μ' ἔτι, παρθενικαὶ μελιγάρυες ἱμερόφωνοι,
γυῖα φέρειν δύναται· βάλε δὴ βάλε κηρύλος εἴην,
ὅστ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται
νηδεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

9. (13.)

Πολλαλέγων ὄνυμ' ἀνδρί, γυναικὶ δὲ Πασιχάρηα.

10. (50.)

Δύσπαρις, αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρα.

11. (51.)

καί ποτ' Ὀδυσσῆος ταλασίφρονος (ὦαθ') ἑταίρων
Κίρκα ἐπαλείψασα

12. (82.)

τίς δ' ἄν, τίς ποκα ῥᾳ ἄλλω νόον ἀνδρὸς ἐνίσποι;

*13.

ἁμὲς δ' εἰρήναν· τόδε γὰρ θέτο Μῶσα λίγεια.

14. (61.)

οὐ γὰρ ἐγώνγα, ϝάνασσα, Διὸς θύγατερ

15. (30.)

χρύσιον ὅρμον ἔχων ῥαδινᾶν πετάλοισι
καλχᾶν

16. (4.)

Μῶσ' ἄγε Καλλιόπα, θύγατερ Διός,
ἄρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον
ὕμνῳ καὶ χαρίεντα τίθη χορόν.

17. (23.)

καί ποκά τοι δώσω τρίποδος κύτος,
ᾧ κ' ἔνι ⟨σιτί' ἀολ⟩λέ' ἀγείρῃς·
ἀλλ' ἔτι νῦν γ' ἄπυρος, τάχα δὲ πλέος
ἔτνεος, οἷον ὁ παμφάγος Ἀλκμὰν
ἠράσθη χλιαρὸν πεδὰ τὰς τροπάς·
οὔτι γὰρ ἠὺ τετυγμένον ἔσθει,
ἀλλὰ τὰ κοινὰ γάρ, ὥσπερ ὁ δᾶμος,
ζατεύει.

18. (25.)

πολλάκι δ' ἐν κορυφαῖς ὀρέων, ὅκα
θεοῖσι ϝάδῃ πολύφανος ἑορτά,

χρύσιον ἄγγος ἔχοισα μέγαν σκύφον,
οἷά τε ποιμένες ἄνδρες ἔχουσιν,
χερσὶ λεόντειον ἐν γάλα θεῖσα
τυρὸν ἐτύρησας μέγαν ἄτρυφον
Ἀργεϊφόντᾳ

19. (40.)

πάρ θ' ἱερὸν σκόπελον παρά τε Ψύρα

20. (8.)

Εἴπατέ μοι τάδε, φῦλα βροτήσια.

21. (72.)

ὣς ἁμὲς τὸ καλὸν μελίσκον

*22.

καὶ τὺ Διὸς θύγατερ μεγαλόσθενες

23.

Ζεῦ πάτερ, αἰ γὰρ ἐμὸς πόσις εἴη.

24. (113.)

ἑσσαμένα πέρι δέρματα θηρῶν

25. (64.)

ταῦτα μὲν ὡς ἂν ὁ δᾶμος ἅπας

26. (70.)

τεὶ γὰρ Ἀλέξανδρος δάμασεν.

27.

εἶπε (μέγ') αὖτε
φαίδιμος Αἴας

28. (78.)

ὑμέ τε καὶ σφετέρως ἵππως

*29.

καί τυ φίλιππον ἔθηκεν.

30. (21.)

λῦσαν δ' ἄπρακτα νεάνιδες, ὥστ'
ὄρνις ἱέρακος ὑπερπταμένω.

31. (79.)

σφεὰ δὲ προτὶ γούνατα πίπτω.

32. (37.)

‒ ⏒ ⏖ ⏒ ⏖ ⏒ ⏑
⏒ ‒ ⏒ ⏖ ⏒ ⏖ ⏒ ⏖ ⏒ ‒ ⏒ ⏖ ⏒ ‒

φοίναις δὲ καὶ ἐν θιάσοισιν
ἀνδρείων παρὰ δαιτυμόνεσσι πρέπει παιᾶνα κατάρχην.

33. (124.)

καὶ ποικίλον ἶκα, τὸν ὀφθαλμῶν
ἀμπελ⟨ίν⟩ων ὀλετῆρα

---

34. (33.)

Κύπρον ἱμερτὰν λιποῖσα καὶ Πάφον περιρρύταν

35. (48.)

ὅς Ϝέθεν πάλοις ἔπαλεν δαίμονάς τ' ἐδάσσατο.

36. (19.)

κὴπὶ τᾷ μύλᾳ δρυφῆται κὴπὶ ταῖς συναικλίαις.

37. (20.)

ἄικλον Ἀλκμάων ἁρμόξατο.

38. (52.)

δουρὶ δὲ ξυστῷ μέμηνεν Αἶας αἱματῇ τε Μέμνων.

39.

Ἠσκέ τις Καφεὺς ἀνάσσων.

40. (36.)

πρόσθ' Ἀπόλλωνος Λυκήω

41.

σιοῖσι κἀνθρώποισιν αἰδοιέστατον

42. (66.)

καὶ κῆνος ἐν σάλεσσι πολλοῖς ἥμενος μάκαρς ἀνήρ

43. (6.)

ἁ Μῶσα κέκλαγ', ἁ λίγεια Σηρήν.

44. (26.)

Ἔρος με δαὖτε Κύπριδος ϝέκατι
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

45. (17.)

Κλῖναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι
μακωνίδων ἄρτων ἐπιστέφοισαι
λίνω τε σασάμω τε κὴν πελίχναις
(παί)δεσσι χρυσοκόλλα.

46. (28.)

ἤδη παρέξει πυάνιόν τε πόλτον
χίδρον τε λευκὸν κηρίναν τ' ὀπώραν.

47.

λεπτὰ δ' ἄταρπος, νηλεὴς δ' ἀνάγκα.

48. (74.)

αἰ γὰρ ἄμιν
τούτων μέλοι.

49. (24.)

ὥρας δ' ἔσηκε τρεῖς, θέρος
καὶ χεῖμα κὠπώραν τρίταν,
καὶ τέτρατον τὸ Ϝῆρ, ὅκα
'σάλλει μέν, ἐσθίην δ' ἄδαν
οὐκ ἔστιν.

50. (75.)

ἀμὶν δ' ὑπαυλήσει μέλος.

51. (77.)

καὶ χεῖμα πῦρ τε δάϜιον

52.

οἴκας μὲν ὡραίῳ λίνῳ.

*53.

κὠ τοξότας Ἡρακλέης

---

*54.

οὐδὲ τῶ Κνακάλω οὐδὲ τῶ Νυρσύλα

55. (18.)

θριδακίσκας τε καὶ κριβανω(τὼς)

56. (34.)

Ἀφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἷα παῖς παίσδει
ἄκρ' ἐπ' ἄνθη καβαίνων, ἃ μή μοι θίγῃς, τῶ κυπαιρίσκω.

57. (7.)

Ἕκατον μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι

58.

λιγύκορτον πάλιν (ἀχεῖ).

59. (22.)

⏑ –́ ⏕ –́ ⏕ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́
–́ ⏕ –́ ⏕ –́ ⏕ –́

Ἔπη τάδε καὶ μέλος Ἀλκμὰν
εὗρε, γεγλωσσαμένον
κακκαβίδων στόμα συνθέμενος.

*60. (14.)

ἕρπει γὰρ ἄντα τῶ σιδάρω τὸ καλῶς κιθαρίσδην.

61. (27.)

–́ ⏑ –́ – –́ ⟨⏑ –́⟩ – –́ ⏑ –́ ⏓
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ – –́ ⏕ –́ ⏑ –́

τοῦτο ϝαδειᾶν ⟨ἐμὶν⟩ Μωσᾶν ἔδειξεν
δῶρον μάκαιρα παρθένων
ἁ ξανθὰ Μεγαλοστράτα.

62. (47.)

οἷα Διὸς θυγάτηρ
ἔρσα τρέφει καὶ Σελάνας
δίας

63. (123.)

– –́ ⏕ –́ ⏕ –́ –
– –́ ⏑ –́ – –́ ⏑ . .

Ῥίπας ὄρος ἀνθέον ὕλᾳ,
νυκτὸς μελαίνας στέρν(ον)

64. (5.)

–́ ⏕ –́ ⏕ –́
–́ ⏕ –́ ⏕ ⏑ – ⏑ –

Μῶσα, Διὸς θύγατερ,
ὠρανίαφι, λίγ' ἀείσομαι.

65. (10.)

–́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
– –́ ⏑ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ –
– –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ ⏑́
–́ – –́ – –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́

εὕδουσιν δ' ὀρέων κορυφαί τε καὶ φάραγγες,
πρώονές τε καὶ χαράδραι,
φῦλά θ' ἑρπετὰ (τόσσα) τρέφει μέλαινα γαῖα,
θῆρές τ' ὀρεσκῷοι καὶ γένος μελισσᾶν
καὶ κνώδαλ' ἐν βένθεσσι πορφυρέας ἁλός·
εὕδουσιν δ' οἰωνῶν
φῦλα τανυπτερύγων.

66. (45.)

⟨*Τύχα*⟩

Εὐνομίας ⟨τε⟩ καὶ Πειθῶς ἀδελφὰ
καὶ Προμαθείας θυγάτηρ

67. (73.)

ὅσαι δὲ παίδες ἁμέων
ἐντί, τὸν κιθαριστὰν αἰνέοντι.

68.

οἶδα δ' ὀρνίχων νόμως
πάντων.

69. (60.)

ἅδοι Διὸς δόμῳ
ὁ χορὸς ἁμὸς καὶ τοί, ϝάναξ.

70. (53.)

⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
⏑⏑ – ⏑⏑ –́ ⏑⏑ –́ – ⏑⏑ –́ –
⏑ – ⏑ – – ⏑⏑ – ⏑

ἀνὴρ δ' ἐν ἀρμένοισιν
ἀλιτήριος ἧστ' ἐπὶ θάκ(ω) κατὰ πέτρας,
ὁρέων μὲν οὐδέν, δοκέων δέ

71. (81.)

σφοῖς ἀδελφιδεοῖς
κᾶρα καὶ φόνον

72.

τῷ δὲ σκόλλυν θεὰ
κατὰν (κάραν λαβῶσ') ἐπίαζεν.

*73.

τὼς τέκεν θυγάτηρ Γλαύκω μάκαιρα.

74. (80.)

τῷ δὲ γυνὰ ταμία σφεᾶς ἔειξε χώρας.

75. (114.)

⟨ἄρκτον δ'⟩ ἐπ' ἀριστερὰ χηρὸς ἔχων

76. (60.)

μέγα γείτονι γείτων.

77. (69.)

πρὸς δὲ τὲ τῶν φίλων

78. (71.)

σὲ γὰρ ἅζομαι.

79.

ἔχει μ' ἄχος, ὦ ὀλὲ δαῖμον.

*80.

μηδέ μ' ἀείδην ἀπέρυκε.

81.

ἦ ῥα τὸν Φοῖβον ὄνειρον εἶδον;

82. (59.)

πεῖρά τοι μαθήσιος ἀρχά.

83. (121.)

ἔστι παρέντων μνᾶστιν ἐπιθέσθαι.

84. (63.)

Φρύγιον αὔλησεν μέλος Κερβήσιον.

85. (35.)

περισσόν· αἲ γὰρ Ἀπόλλων ὁ Λύκηος

86. (35.)

Ἰνὼ σαλασσομέδοισ', ἂν ἀπὸ μάσδων

87. (83.)

νικῷ δ' ὁ κάρρων.

88. (85.)

μεῖον ἢ κοδύμαλον

88a.

ἀβάλε καὶ νοέοντα

89. (87.)

μάγαδιν δ' ἀποθέσθαι

90. (100.)

ταύσια πολλὰ κίω

91. (105.)

καὶ Κέρκυρος ἀγῆται.

92. (106.)

ὅκκα δὴ γυνὰ εἴην

93. (120.)

τὰν Μῶσαν καταύσεις.

94. (109.)

τῶν ἐν Θεσσαλίῳ κλείτει

95. (118.)

λᾶδος ἡμένα καλόν

96. (103.)

καλλὰ μελιζόμεναι

97. (76.)

τὰ Ϝὰ κάδεα

98. (16.)

τὸ νέκταρ ἔδμεναι

99.

Ἀρτέμιτος θεράποντα

*100.

κάλλιστ' ὑπαυλῆν

*101.

κἁ μεγασθενὴς Ἀσαναία

*102.

Μελάμποδά τ' Ἁρπόλυκόν τε

*103.

ἄρχοι μὲν γάρ κ' ὁ θρασίων.

*104.

γλυκυτάτων πρύτανιν ὕμνων

*105.

μέλεα μελιπτέρωτα Μωσᾶν

IV.

[ARION.]

– –́ ⏖ –́
–́ ⏖ –́ ⏖ –́ ⏖ –́ –
– –́ ⏑ –́ –́ ⏖ –́ –

∸ ⏑ ∸ ⏑ ⏖ ⏑ ∸ –
– ∸ ⏑ ∸   ∸ ⏖ ∸
– ∸ ⏖ ∸   ∸ ⏑ ⏑
⏑ ∸ ⏖ ∸ ⏖ ∸   ∸ –
– ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ –
– ∸ ⏑ ⏖ ⏑ ∸ ⏑ ⏑
∸ – ∸ ⏖ ∸ ⏑ ∸
∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ –
– ∸ ⏖ ∸   ∸ ⏖ ∸ ⏖ ∸   ∸ –
⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ –
– ∸ ⏑ ∸   ∸ ⏖ ∸ ⏑
⏖ ⏑ ∸ ⏖ ∸ ⏑ ∸
– ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ – ∸ ⏖ ∸
∸ ⏖ ∸   ∸ ⏖ ∸ ⏑ ∸
– ∸ ⏖ ∸ ⏑ ∸ – ∸ ⏑ ∸ ⏑

Ὕψιστε θεῶν,
πόντιε χρυσοτρίαινε Πόσειδον,
γαιάοχ', ἐγκύμον' ⟨ἀν'⟩ ἅλμαν·
βράγχιοι περὶ δὲ σὲ πλωτοὶ
θῆρες χορεύουσι κύκλῳ,
κούφοισι ποδῶν ῥίμμασιν
ἐλάφρ' ἀναπαλλόμενοι, σιμοί,
φριξαύχενες, ὠκύδρομοι σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα
κουρᾶν Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ' Ἀμφιτρίτα·
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν ἀκτὰν
ἐπορεύσατε πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχέοντες,
ἄλοκα Νηρεΐας πλακὸς
τέμνοντες, ἀστιβῆ πόρον, φῶτες δόλιοι
ὥς μ' ἀφ' ἁλιπλόου γλαφυρᾶς νεὼς
εἰς οἶδμ' ἁλιπόρφυρον λίμνας ἔριψαν.

V.

ALCAEUS.

1. (20.)*)

Ὦ 'ναξ Ἄπολλον, παῖ μεγάλω Δίος.

2. (22.)

Χαῖρε Κυλλάνας ὃ μέδεις, σὲ γάρ μοι
θῦμος ὕμνην, τὸν κορυφαῖσ' ἐν ἄγναις
Μαῖα γέννα(το) Κρονίδᾳ μιγεῖσα
παμβασιλῆι.

3. (54.)

⟨Ὦ 'ν⟩ασσ' Ἀθανάα πολε⟨μαδόκος⟩,
ἅ ποι Κορωνήας ἐπὶ ⟨πί⟩σεων
ναύω πάροιθεν ἀμφι⟨βαίνεις⟩
Κωραλίω ποτάμω παρ' ὄχθαις.

4.

τὸ δ' ἔργον ἀγήσαιτο τέα κόρα.

4a. (82.)

ἦ που σύναγ' ἄνδρων ⟨ζαδε⟩δασμένον
στράτον νόμισμ' (ἐπι)πνέοισα

*5. (24.)

. . . δεινότατον θέων
⟨τὸν⟩ γέννατ' εὐπέδιλλος Ἶρις
χρυσοκόμᾳ Ζεφύρῳ μιγεῖσα.

6. (2.)

Ἀσυνέτημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ὂν τὸ μέσσον
νᾶϊ φορήμεθα σὺν μελαίνᾳ.

---

*) Numeri uncis inclusi sunt editionis Matthianae.

χείμωνι μοχθεῦντες μεγάλῳ μάλα·
περ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μεγάλαι κατ' αὖτο·
χόλαισι δ' ἄγκυλαι.

7. (3.).

τὸ δ' αὖτε κῦμα τῶν προτέρων ὄνω
στείχει, παρέξει δ' ἄμμι πόνον πόλυν
ἄντλην, ἐπεί κε νᾶος ἐμβᾷ

8. (4.)

Νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πώνην, ἐπειδὴ κάτθανε Μύρσιλος.

9. (7.)

Μέλαγχρος αἴδως ἄξιος εἰς πόλιν

10. (10.)

λόφον τε σείων Κάρικον

11. (94 b.)

οὐδέ πω Ποσείδαν
ἄλμυρον ἐστυφέλιξε πόντον.

*12.

ἔπταζον ὤστ' ὄρνιθες ὦκυν
αἴετον ἐξαπίνας φάνεντα.

*13.

Ἄρευ, δι' ὄ<ν> φόβος δαΐκτηρ

*14.

τὸ γὰρ
Ἄρευι κατθάνην κάλον.

*15.

μεῖξαν δ' ἐν ἀλλάλοισ' Ἄρευα.

16. (27.)

Ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀράνω μέγας
χείμων, πεπάγαισιν δ' ὐδάτων ῥόαι.

κάββαλλε τὸν χείμων', ἐπὶ μὲν τίθεις
πῦρ, ἐν δὲ κέρναις οἶνον ἀφειδέως
μέλιχρον, αὐτὰρ ἀμφὶ κόρσα
μαλθακὸν ἀμφι⟨βαλὼν⟩ γνόφαλλον.

17. (29.)

Οὐ χρὴ κάκοισι θῦμον ἐπιτρέπην·
προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

18. (36.)

οἶνος γὰρ ἀνθρώποισι δίοπτρον.

[19.] (42.)

θέλω τι ϝείπην, ἀλλά με κωλύει
αἴδως.

20. (96.)

πρώτα μὲν Ἄντανδρος Λελέγων πόλις

21. (84.)

πάμπαν δ' ἐτύφωσ', ἐκ δ' ἔλετο φρένας.

*22. (123.)

καί τις ἐπ' ἐσχατίαισιν οἴκεις

23.

ὡς λόγος ἐκ πατέρων ὄρωρεν.

24. (81.)

οἴκω τε περ σῶ καίπερ ἀτιμίαις

25. (89.)

καί κ᾽ οὐδὲν ἐκ δένος γένοιτο.

26.

κἀπιπλεύσην
νάεσσιν

27. (80.)

. . ὅτ᾽ ἄσφ᾽ ἀπολλυμένοις σάως

---

28. 29. (33. 32.)

ἀλλ᾽ ἀνήτω μὲν περὶ ταῖς δέραισιν
περθέτω πλέκταις ὑποθύμιδάς τις,
καδ δὲ χευάτω μύρον ἆδυ κατ τῶ
στήθεος ἄμμι.

*30. (25.)

ἄεισον ἄμμι τὰν ἰόκολπον

31.

χαῖρε καὶ πῶ τάνδε

32. (15.)

αἰ δέ κ᾽ ἄμμι Ζεὺς τελέσῃ νόημα

*33. (74.)

. . νόον δὲ ϝαύτω
πάμπαν ἀέρρει.

34. (41.)

Ἰόπλοκ᾽ ἄγνα μελλιχόμειδε Σάπφοι

---

35. (12.)

ἄνδρες γὰρ πόλιος πύργος ἀρεύιοι.

36. 37. (67. 8.)

(Πρὸς Ἀντιμενίδαν.)

Ἦλθες ἐκ περάτων γᾶς ἐλεφαντίναν
λάβαν τῶ ξίφεος χρυσοδέταν ἔχων,
⟨ἐπειδὴ⟩ μέγαν ἆθλον Βαβυλωνίοις
συμμάχεις τέλεσας, ῥύσαό τ' ἐκ πόνων,
κτένναις ἄνδρα μαχαίταν βασιληίων
παλαίσταν ἀπυλείποντα μόναν ἴαν
παχέων ἀπὺ πέμπων.

38. (28a.)

Πίνωμεν, τὸ γὰρ ἄστρον περιτέλλεται.

39. (98.)

Ἀχνάσδημι κακῶς· οὔτι γὰρ οἰ φίλοι

40. (47.)

. . . . . νῦν δ' οὗτος ἐπικρέτει
κινήσαις τὸν ἀπ' ἴρας πυκιν(ῶς) λίθον.

41. (79.)

τὸ γὰρ θέων ἰότατ' ὔμμε λαχόντων γέρας (ἄφθιτον) θήσει.

42. (5.)

τὸν κακοπάτριδα
Πιττακὸν πόλιος τᾶς ἀχόλω καὶ βαρυδαίμονος
ἐστάσαντο τύραννον μέγ' ἐπαίνεντες ἀολλέες

42a.

αἰ δὴ μὰν χέραδος μὴ βεβάω ⟨ϝ⟩εργάσιμον λίθον
κίνης, καὶ κεν ἴσως τὰν κεφάλαν ἀργαλίαν ἔχοι(ς)

43. (28a.)

Τέγγε πλεύμονα ϝοίνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἀ δ' ὤρα χαλέπα, πάντα δὲ δίψαισ' ὐπὸ καύματος.
ἄχει δ' ἐκ πετάλων ϝάδεα τέττιξ, πτερύγων δ' ὔπο
κακχέει λιγύραν ⟨πύκνον⟩ ἀοίδαν, ⟨σέλας⟩ ὄπποτα
φλόγιον (κατὰ γᾶν πε)πταμένον ⟨πάντα⟩ καταυάνῃ·
ἄνθει δὲ σκόλυμος· νῦν δὲ γύναικες μιαρώταται,
λέπτοι δ' ἄνδρες, ἐπεὶ ⟨καὶ⟩ κεφάλαν καὶ γόνα Σείριος
ἄζει.

44. (31.)

Πίνωμεν· τί (τὰ) λύχ(ν') ὀμμένομεν; δάκτυλος ἀμέρα.
καδ δ' ἄερρε κυλίχναις μεγάλαις, αἶτα, ποικίλαις·
οἶνον γὰρ Σεμέλας καὶ Δίος υἶος λαθικάδεα
ἀνθρώποισιν ἔδωκ'· ἔγχεε κέρναις ἔνα καὶ δύο
πλέαις κακ κεφάλας, ἀ δ' ἐτέρα τὰν ἐτέραν κύλιξ
ὠθήτω

45.

Κατ τᾶς πόλλα παθοίσας κεφαλᾶς κακχε(άτω) μύρον
καὶ κατ τῶ πολίω στήθεος.

46. (30.)

Μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδριον ἀμπέλω.

47. (85.)

αἴ κ' εἴπῃς, τὰ θέλεις, ⟨αὖτος⟩ ἀκούσαις ⟨κε⟩, τά κ' οὐ
θέλοις.

48. (53.)

Ὄρνιθές τινες οἴδ' ὠκεανῶ γᾶς ⟨τ'⟩ ἀπὺ περράτων
ἦλθον πανέλοπες ποικιλόδερροι τανυσίπτεροι.

49. (68.)

Νύμφαις, ταῖς Δίος ἔξ αἰγιόχω φαῖσι τετυγμέναις

50. (94e.)

αἰ γὰρ κἄλλοθεν ἔλθῃ, σὺ δὲ φαὶ⟨ς⟩ κηνόθεν ἔμμεναι.

51.

. . γᾶς γὰρ πέλεται σέῳ.

52. (99.)

. . εἶς τῶν δυοκαιδέκων

53. (75.)

. . σὺ δὲ σαύτῳ τομίας ἔσῃ.

54. (72.)

. . μηδ' ὀνίαις τοῖς πέλας ἄμμεων
παρέχην

55.

. . ἐρραφέωτ'· οὐ γάρ, ἄναξ,

56. (1.)

μαρμαίρει δὲ μέγας δόμος χάλκῳ· παῖσα δ' Ἄρῃ κεκόσμηται στέγα
λάμπραισιν κυνίαισι, κατ τᾶν λευκοὶ κατύπερθεν ἴππιοι λόφοι
νεύοισιν, κεφάλαισιν ἄνδρων ἀγάλματα· χάλκιαι δὲ πασσάλοις
κρύπτοισιν περικείμεναι λάμπραι κνάμιδες, ἄρκος ἰσχύρω βέλευς,
θώρακές τε νέω λίνω κοῖλαί τε κατ' ἄσπιδες βεβλήμεναι·
πὰρ δὲ Χαλκίδικαι σπάθαι, πὰρ δὲ ζώματα πόλλα καὶ κυπάσσιδες·
τῶν οὐκ ἔστι λάθεσθ', ἐπειδὴ πρώτιστ' ὑπὸ Ϝέργον ἔσταμεν τόδε.

57. (46.)

. . βλήχρων ἀνέμων ἀχείμαντοι πνόαι

*58. (52.)

. . γαίας καὶ νιφόεντος ὠράνω μέσοι

59. (50.)

ὢς γὰρ δή ποτ᾽ Ἀριστόδαμόν φαισ᾽ οὐκ ἀπάλαμνον
ἐν Σπάρτᾳ λόγον
εἴπην· 'χρήματ᾽ ἄνηρ·' πένιχρος δ᾽ οὐδεὶς πέλετ᾽ ἔσλος
οὐδὲ τίμιος.

60. (59.)

Πέτρας καὶ πολίας θαλάσσας τέκνον . . .
. . . . . ἐκ δὲ παίδων χαύνοις φρένας, ἀ θαλασσία λέπας.

61.

καὶ πλείστοισ᾽ ἐάνασσε λάοις.

62. (71.)

. . ὤστε θέων μηδέν᾽ Ὀλυμπίων λῦσαι ἄτερ ϝέθεν.

63. (26.)

Κρονίδα βασίληος γένος Αἴαν, τὸν ἄριστον πεδ᾽ Ἀχίλλεα

64. (15.)

Ἄμμιν ἀθάνατοι θέοι
νίκαν

65. (35.)

λάταγες ποτέονται
κυλιχνᾶν ἀπὺ Τηιᾶν.

66. (77.)

. . οἴτινες ἔσλοι
ὔμμεων τε καὶ ἄμμεων.

*67.

Ἄρευος στρατιωτέροις

*68. (73.)

ἐμαύτῳ παλαμάσομαι.

69. (60.)

ἐκ δὲ ποτήριον πώνης Διννομένῃ παρίσδων.

*70. (124.)

– –́ ⏑ –́ –́ – –́ ⏑ ⏑ –́ ⏑ –́

κόλπῳ σ' ἐδέξαντ' ἅγναι Χάριτες Κρόνῳ

---

71. (28 b.)

Ἦρος ἀνθεμόεντος ἐπάιον ἐρχομένοιο.

ἐν δὲ κέρνατε τῶ μελιάδεος ὄττι τάχιστα
κράτηρα.

*72.

Κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι,
αἰ χρὴ συμποσίας ἐπ' ὄνασιν ἔμοι γε γένεσθαι.

73. (65.)

Ἀργάλεον πενία κάκον ἄσχετον, ἃ μέγα δάμν(αι)
λᾶον ἀμαχανίᾳ σὺν ἀδελφίᾳ.

74. (14.)

Ὤνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κρέτος
ὀντρέψει τάχα τὰν πόλιν· ἁ δ' ἔχεται ῥόπας.

75. (49.)

. . . Ἀχίλλευ, ὁ τᾶς Σκυθίκας μέδεις.

76. (51.)

κεῖσθαι (περ) κεφάλας μέγας, ὦ Αἰσιμίδα, λίθος

77. (34.)

ἄλλοτα μὲν μελιάδεος, ἄλλοτα δ'
ὀξυτέρω τριβόλων ἀρυτήμενοι

78. (90.)

καὶ Σκυθίκαις ὑποδησάμενος

79. (37.)

Οἶνος, ὦ φίλε παῖ, καὶ ἀλάθεια

---

80. (69.)

Ἔμε δείλαν, ἔμε παίσαν κακοτάτων πεδέχοισαν.

81.

Ἔπετον Κυπρογενήας παλάμαισιν.

82.

τερένας ἄνθος ὀπώρας

83. (44.)

. . . . ἐλάφω δὲ βρόμος ἐν στήθεσι φύει φόβερος.

84. (94d.)

ἐπὶ γὰρ πᾶρος ὀνίαρον ἴκνηται.

85. (92.)

πάλιν ἀ ὗς παρορίννει.

86. (76.)

. . . . ἀλλὰ σαύτω μετέχων πρὸς πόσιν ἤβας

87. (40.)

Δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

88. (70.)

Ἠ ῥ' ἔτι Διννομένη τῶ τ' Ὑρραδήῳ
τἄρμενα λάμπρ' ἀ⟨πυ⟩κέατ' ἐν Μυρσινήῳ;

89. (66.)

Ἔκ μ' ἔλασας ἀλγέων.

90. (78.)

ἄμμεσιν πεδάορον

91. (87.)

ἐγὼ μὲν οὐ δέω τάδε μαρτυρεῦντας.

92. (48.)

οὐδέ τι μυνάμενος ἄλλα τὸ νόημα

93. (94e.)

ἀπ πατέρων μάθος

94.

δάκῃ τῶν σικύων

95.

ἔνδυς σίσυρναν.

VI.

SAPPHO.

1. (1.)*)

Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος, δολόπλοκε, λίσσομαί σε,
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα,
πότνια, θῦμον·
ἀλλὰ τυῖδ' ἔλθ', αἴ ποτα κἀτέρωτα
τᾶς ἔμας αὔδως αἴοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες

*) Numeri adiecti sunt editionis Neuianae.

ἅρμ' ὐπαζεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας
πύκνα δινν ῆντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.
αἶψα δ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ,
ἤρε', ὄττι δηὖτε πέπονθα κὤττι
δηὖτε κάλημι,
κὤττι ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· 'τίνα δηὖτε Πείθω
μαῖς ἄγην ἐς σὰν φιλότατα, τίς σ', ὦ
Ψάπφ', ἀδικήει;
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισ⟨αν⟩'.
ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τέλεσσαι
θῦμος ἰμέρρει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

2. (2.)

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ, ὄστις ἐναντίος τοι
ἰζάνει καὶ πλασίον ἆδυ φωνεύ-
σας ὐπακούει
καὶ γελαίσας ἰμερόεν, τὸ δή ἔμαν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
ὠς γὰρ ⟨ἐ⟩σϝίδω βροχέως (σε), φώνας
οὐδὲν ἔτ' εἴκει·
ἀλλὰ καμ μὲν γλῶσσα ϝέαγε, λέπτον δ'

αὔτικα χρῶ πῦρ ὑπαδεδρόμακεν,
ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι.
ἀ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύ(ης)
φαίνομαι ἄλλα.

3. (3. 106.)

Ἄστερες μὲν ἀμφὶ κάλαν σελάνναν
ἂψ ἀπυκρύπτοισι φάεννον εἶδος,
ὅπποτα πλήθοισα μάλιστα λάμπη
γᾶν <ἐπὶ παῖσαν>
ἀργυρέα.

4. (4.)

ἀμφὶ δ' ὕδωρ
<ἴψοθεν> ψῦχρον κελάδει δι' ὔσδων
μαλίνων, αἰθυσσομένων δὲ φύλλων
κῶμα καταρρεῖ.

5. (5.)

ἔλθε, Κύπρι,
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβρως
συμμεμιγμένον θαλίαισι νέκταρ
οἰνοχοεῦσα.

6. (6.)

ἤ σε Κύπρος ἢ Πάφος ἢ Πάνορμος

7. (7.)

σοὶ δ' ἔγω λεύκας ἐπὶ (βῶμον) αἶγος

κἀπιλείψω τοι

*8.

αἴθ' ἔγω, χρυσοστέφαν' Ἀφρόδιτα,
τόνδε τὸν πάλον λαχόην ⏑ – –

9. (90.)

αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι

10. (47.)

τάδε νῦν ἐταίραις
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω.

11. [87.]

ὄττινας γὰρ
εὖ θέω, κῆνοί με μάλιστα σίννον-
ται . . . .

*12.

ταῖς κάλαισ' ὔμμιν ⟨τὸ⟩ νόημα τὦμον
οὐ διάμειπτον.

13. (8.)

ταῖσι ⟨δὲ⟩ ψῦχρος μὲν ἔγεντο θῦμος,
παρ δ' ἴεισι τὰ πτέρα . . . .

14.

. . . . . κατ' ἔμον στάλαγμον

15. (11.)

τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν
καὶ μελεδῶναι.

16. (12.)

Ἀρτίως μ' ἀ χρυσοπέδιλλος Αὔως

17. (83.)

πόδας δὲ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον.

18. (84.)

. . . . παντοδάπαις μεμιγμέ-
να χροΐαισιν.

19.

ἀστέρων πάντων . . . ὁ κάλλι-
στος . . . .

*20.

ἤ τιν᾽ ἄλλον
⟨μᾶλλον⟩ ἀνθρώπων ἔμεθεν φίλησθα.

[21.] (135.)

Κεῖνον, ὦ χρυσόθρονε Μοῦσ᾽, ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
πρέσβυς ἀγαυός.

---

22. (93.)

σκιδναμένας ἐν στήθεσιν ὄργας
μαψυλάκαν γλῶσσαν πεφύλαχθαι.

---

23. (61.)

αἰ δ᾽ ἦχες ἔσλων ἵμερον ἢ κάλων,
καὶ μή τι ϝείπην γλῶσσ᾽ ἐκύκα κάκον,
αἴδως κέ σ᾽ οὐ κ⟨ατ⟩ῆχεν ὄππατ᾽,
ἀλλ᾽ ἔλεγες περὶ τῶ δικαίω.

24. (80.)

. . . . . πόλλα μοι τὰν
Πωλυανακτίδα παῖδα χαίρην.

---

25. (66.)

χρύσειοι ⟨δ'⟩ ἐρέβινθοι ἐπ' αἰόνων ἐφύοντο.

26. (27.)

Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἔταιραι.

27. (16.)

μνάσεσθαί τινά φαμι καὶ ὔστερον ἀμμέων.

28. (14.)

Ἠράμαν μὲν ἐγὼ σεθεν, Ἀτθί, πάλαι πότα.

29. (27.)

σμίκρα μοι πάις ἔμμεν ἐφαίνεο κἄχαρις.

*30.

(ἄλλα, μὴ) μεγαλύνεο δακτυλίω πέρι.

31.

Οὐκ οἶδ' ὄττι θέω· δύο μοι τὰ νοήματα.

32. (41.)

ὀ μὲν γὰρ κάλος ὄσσον ἴδην πέλεται ⟨μόνον⟩,
ὀ δὲ κἄγαθος αὔτικα καὶ κάλος ἔσσεται.

33. (54.)

. . ἐγὼ δ' ἐπὶ μαλθάκαν
τύλαν ⟨κα⟩σπολέω μέλεα.

34. (15.)

πόλλα δὲ . . .
ἀνάριθμα ποτήρια (καὶ φιάλαι) . .

35. (74.)

Ἔρος ὡς ἄνεμος κατ᾽ ὄρος δρύσιν ἐμπέσων
φρένας (ἀμμετέραις) ἐτίναξεν . . . .

36. (75.)

ὡς δὲ παῖς πεδὰ μάτερα πεπτερύγωμαι.

37. (36.)

Ἦρος ἄγγελος ἰμερόφωνος ἀήδων

*38. (37.)

Ἔρος δαὖτέ μ᾽ ὀ λυσιμέλης δόνει,
γλυκύπικρον ἀμάχανον ὄρπετον.

*39. (37.)

Ἄτθι, σοὶ δ᾽ ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ᾽ Ἀνδρομέδαν πότῃ.

40. (40.)

ὄτα πάννυχος ἄσφι κατάγρει.

(πρὸς Ἀφροδίτην.)

41. (25.)

χερρόμακτρα δὲ (κακ κομᾶν)
πορφυρᾶ καταυταμενάτ᾽ . . ἀτιμάσεις,
<τά γ᾽> ἔπεμψ᾽ ἀπὺ Φωκάας
δῶρα τίμια . . .

42. (24.)

Ἄγε ⟨δὴ⟩ χέλυ δῖά μοι
φωνάεσσα γένοιο.

43. (26.)

καὶ πόλλαις ὑποθύμιδας
πλέκταις (ἀμφ') ἀπάλᾳ δέρᾳ

44. (122.)

Γέλλως παιδοφιλωτέρα

45. (91.)

μάλα δὴ κεκορημένας
Γόργως

46. (94.)

βρενθείω βασιληΐω

47. (20.)

ἀλλ' ἔων φίλος ἄμμιν
λέχος ἄρνυσο νεώτερον·
οὐ γὰρ τλάσομ' ἐγὼ συνοί-
κην ἔοισα γεραιτέρα.

48. 49. (79. 70.)

κῆ δ' ἀμβροσίας μὲν κράτηρ ἐκέκρατο,
Ἔρμας δ' ἔλεν ὄλπιν θεοῖσ' οἰνοχοῆσαι.
κῆνοι δ' ἄρα πάντες καρχήσι⟨ά τ'⟩ ἦχον
κἄλειβον, ἀράσαντο δὲ πάμπαν ἔσλα
τῷ γάμβρῳ.

[*50.] (55.)

Δέδυκε μὲν ἀ σελάννα
καὶ Πληΐαδες, μέσαι δὲ
νύκτες, παρὰ δ' ἔρχετ' ὤρα,
ἔγω δὲ μόνα κατεύδω.

51. (56.)

πλήρης μὲν ἐφαίνετ' ἀ σελάννα·
αἱ δ' ὡς περὶ βῶμον ἐστάθησαν

*52. (46.)

Κρῆσσαί νύ ποτ' ὧδ' ἐμμελέως πόδεσσιν
ὤρχευντ' ἀπάλοισ' ἀμφ' ἐρόεντα βωμόν.

53. (46.)

πόας τέρεν ἄνθος μάλακον μάτεισαι

54.

. . . . . *αὔτα*
(*ὠράα*) *στεφαναπλόκην.*

55. (39.)

ὀφθάλμοις δὲ μέλαις νύκτος ἄωρος

56.

χρυσοφάην θεράπαιναν Ἀφροδίτας

57. (62.)

Στᾶθι κ⟨άτ⟩αντα φίλος καὶ τὰν ἐπ' ὄσσοις
ὀμπέτασον χάριν.

58. (58.)

Ἔχει μὲν Ἀνδρομέδα κάλαν ἀμοίβαν.

59. (58.)

Ψάπφοι, τί τὰν πολύολβον Ἀφροδίταν

*60.

. . . . *ἔμεθεν δ' ἔχεισθα λάθαν.*

61. (50.)

Δεῦτέ νυν ἄβραι Χάριτες καλλίκομοί τε Μοῖσαι.

62.

πάρθενον ἀδύφωνον

---

*63. (128.)

Κατθναίσκει, Κυθέρη', ἄβρος Ἄδωνις, τί κε θεῖμεν;
'καττύπτεσθε, κόραι, καὶ κατερείκεσθε χίτωνας'.

*64.

ὢ τὸν Ἄδωνιν.

65. (30.)

Φαῖσι δή ποτα Λήδαν ὐακίνθ(ω) πεπυκαδμένον
εὔρην ὤιον.

66. (21.)

ἔλθοντ' ἐξ ὀράνω πορφυρίαν περθέμενον χλάμυν

67. (22.)

Βροδοπάχεες ἄγναι Χάριτες, δεῦτε Δίος κόραι.

68. (88.)

. . . ὀ δ' Ἄρευς φαῖσί κεν Ἄφαιστον ἄγην βίᾳ.

69. (19.)

κατθανοῖσα δὲ κείσεαι οὐδέποτα μναμοσύνα σέθεν
ἔσσετ' οὐδ' (ἔρος) <εἰς> ὔστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας· ἀλλ' ἀφάνης κὴν 'Αίδα δόμοις
φοιτάσεις πεδ' ἀμαύρων νεκύων ἐκπεποταμένα.

70.

οὐδ' ἴαν δοκίμοιμι προσίδοισαν φάος ἀλίω
ἔσσεσθαι σοφίαν πάρθενον εἰς οὐδένα πω χρόνον
τοιαύταν.

71. (23.)

. . . . . τίς δ' ἀγροΐωτίς τοι ἐπεμμένα
σπόλαν . . . θέλγει νόον . . . .
οὐκ ἐπισταμένα τὰ βράκε' ἕλκην ἐπὶ τῶν σφύρων;

*72.

Ἥρων ἐξεδίδαξ' ἐ⟨κ⟩ Γυάρων τὰν ἀνυόδρομον.

73. (29.)

. . . . . . ἀλλά τις οὐκ ἔμμι παλιγκότων
ὄργαν, ἀλλ' ἀβάκην τὰν φρέν' ἔχω . . . . . .

74. (81.)

. . σύ τε κἄμὸς θεράπων Ἔρος

---

75. (42.)

Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπάλας Γυρίννως,

76. (42.)

ἀσαροτέρας οὐδαμά πω, Ἔραννα, σέθεν τύχοισα

77. (44.)

σὺ δὲ στεφάνοις, ὦ Δίκα, περθέσθ' ἐράταις φόβαισιν,
ὄρπακας ἀνήτοιο συνέρραισ' ἀπάλαισι χέρσιν·
εὐάνθεα γὰρ ⟨θέα⟩ πέλεται καὶ Χάριτες μάκαιραι
μᾶλλον (προσόρην)· ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

78. (43.)

ἔγω δὲ φίλημ' ἀβροσύναν, καί μοι . . τὸ λάμπρον
ἔρος . . . ἀελίω καὶ τὸ κάλον λέλογχεν.

79. (45.)

ὁ πλοῦτος ἄνευ ⟨τᾶς⟩ ἀρέτας οὐκ ἀσίνης πάροικος.

80. (54.)

καμ μέν τε τύλαν κασπολέω.

81. (72.)

αὔτα δὲ σὺ Καλλιόπα

82. (86.)

δαύοις ἀπάλας ἐτάρας
ἐν στήθεσιν . . . .

83. (77.)

Δεῦρο δηῦτε Μοῖσαι, χρύσιον λίποισαι

*84. (76.)

Ἔστι μοι κάλα πάις, χρυσίοισιν ἀνθέμοισιν
ἐμφέρην ἔχοισα μόρφαν, Κλῆις ἀγαπάτα,
ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν παῖσαν οὐδ' ἔραννιαν

---

85. (53.)

Ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ.

86. (52.)

Τί με, Πανδίονις ὦ 'ραννα χελίδων

87. (31.)

ἀμφὶ (δ') ἄβροισ⟨ιν⟩ λασίοισ' εὖ Ϝε πύκασσεν.

88. (32.)

Γλύκεια μᾶτερ, οὔτοι δύναμαι κρέκην τὸν ἴστον,
πόθῳ δάμεισα παῖδος βραδίναν δι' Ἀφρόδιταν.

ΕΠΙΘΑΛΑΜΙΑ.

89. (73.)

Ὕψοι δὴ τὸ μέλαθρον —
Ὑμήναον —
ἀέρρετε τέκτονες ἄνδρες·
Ὑμήναον.
γάμβρος [ἐσέρχεται] ἴσσος Ἄρευι,
ἄνδρος μεγάλω πόλυ μείζων.

†90. (69.)

πέρροχος ὡς ὅτ' ἄοιδος ὁ Λέσβιος ἀλλοδάποισιν

†91. (35. 133.)

οἷον τὸ γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὕσδῳ,
ἄκρον ἐπ' ἀκροτάτῳ, λελάθοντο δὲ μαλοδρόπηες,
οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐπίκεσθαι.

*92.

οἴαν τὰν ὑάκινθον ἐν ὤρεσι ποίμενες ἄνδρες
πόσσι καταστείβοισι, χάμαι δέ τε πορφύρον ἄνθος

93. (68.)

Ϝέσπερε, πάντα φέρων, ὅσα φαίνολις ἐσκέδασ' αὔως,
φέρεις οἶν, φέρες αἶγα, φέρεις (ἄπυ) ματέρι παῖδα.

†94.

'δώσομεν' ἦσὶ πάτηρ.

95. (38. 110.)

Θυρώρῳ πόδες ἐπτορόγυιοι,
τὰ δὲ σάμβαλα πεντεβόηα,
πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν.

96. (63.)

Ὄλβιε γάμβρε, σοὶ μὲν δὴ γάμος, ὡς ἄραο,
ἐκτετέλεστ᾽, ἔχης δὲ πάρθενον, ἂν ἄραο.

97. (64.)

σοὶ χαρίεν μὲν εἶδος, ὄππατα ⟨δὲ⟩ . . .
μελλίχροος δ᾽ ἐπ᾽ ἰμερτῷ κέχυται προσώπῳ
. . ἔρος . . .
. . τετίμακ᾽ ἔξοχά σ᾽ Ἀφροδίτα.

98. (71.)

ἦ ῥ᾽ ἔτι παρθενίας ἐπιβάλλομαι;

*99. (78.)

χαίροισα νύμφα, χαιρέτω δ᾽ ὁ γάμβρος.

*100. (34.)

τίῳ σ᾽, ὦ φίλε γάμβρε, κάλως ἐικάσδω;
ὄρπακι βραδίνῳ σε μάλιστ᾽ ἐικάσδω.

101. (49.)

χαῖρε, νύμφα,
χαῖρε, τίμιε γάμβρε, πόλλα.

102. (65.)

οὐ γὰρ ἦν ἑτέρα πάις, ὦ γάμβρε, τοιαύτα.

103. (51.)

'παρθενία, παρθενία, ποῖ με λίποισ᾽ οἴχῃ;'

'οὐκέτι εἴξω πρός σε, ⟨πρός σ᾽⟩ οὐκέτι εἴξω.'

103a.

'Αϊπάρθενος ἔσσομαι.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

103b.

ψαύην δ' οὐ δοκέει μοι ὀράνω δυσπάλεα.

103c.

Ἄβραι, δεῦτε (τάχος)· πάλαι ἀλλόμαν

103d.

ὠΐω πόλυ λευκότερον

103e.

μήτ' ἔμοι μέλι, μήτε μέλισσα.

103f.

μὴ κίνη χέραδας

103g.

ὄπταισ' ἄμμε

103h.

ἠμιτύβιον σταλάσσον

103i.

τὸν ϝον παῖδα κάλει

103k.

οὐ γὰρ οἰκίᾳ ἐν μοισοπόλων θέμις
θρῆνον ἔμμεναι· οὐκ ἄμμι πρέπει τάδε.

[ΕΠΙΓΡΑΜΜΑΤΑ.]

104. (137.)

Παῖδες, ἄφωνος ἐοῖσα (τόδ') ἐννέπω, αἴ τις ἔρηται,
φωνὰν ἀκαμάταν κατθεμένα πρὸ ποδῶν·
Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν Ἀρίστα
Ἑρμοκλει(δαία) τῶ Σαυναϊάδα,
σὰ πρόπολος, δέσποινα γυναικῶν· ἃ σὺ χαρεῖσα
πρόφρων ἀμετέραν εὔκλεισον γενεάν.

105. (138.)

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
ἆς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

106. (139.)

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἐπέθηκε Μενίσκος
κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.

VII.

STESICHORUS.

ΑΘΛΑ ΕΠΙ ΠΕΛΙΑΙ.

1. (1.)*)

· · ⏓ – ⏓ ⏑⏑ · –
⏑⏑ ⏓ ⏑⏑ ⏓ ⏑⏑ ⏓ ⏑⏑ ⏓ ⏑⏑ ⏓ –
⏓ – ⏓ – ⏓ – ⏓ ⏑⏑ · ·

Ἑρμείας μὲν ἔδωκεν
Φλόγεόν ⟨τε⟩ καὶ Ἅρπαγον, ὠκέα τέκνα Ποδάργας,
Ἥρα δὲ Ξάνθον καὶ Κύλλαρον.

*) Numeri adiecti sunt editionis Kleinianae.

2. (2.)

–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏓

σασαμίδας χόνδρον τε καὶ ἐγκρίδας ἄλλα τε πέμματα
καὶ μέλι χλωρόν

3. (3.)

θρώσκων μὲν (ἄρ') Ἀμφιάραος, ἄκοντι δὲ νίκασεν
Μελέαγρος.

ΓΗΡΥΟΝΗΙΣ.

4. (5.)

⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –
–́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ – –́ ⏑⏑ –́ . .

σχεδὸν ἀντιπέρας κλεινᾶς Ἐρυθείας,
Ταρτησσοῦ ποταμοῦ παρὰ παγὰς ἀπείρονας ἀργυρο-
ρίζους,
ἐν κευθμῶνι πέτρας

5. (7.)

⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

σκύφιον δὲ λαβὼν δέπας ἔμμετρον ὡς τριλάγυνον
πί' ἐπισχόμενος, τό ῥά οἱ παρέθηκε Φόλος κεράσας.

6. (10.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ . .

Ἀέλιος δ' Ὑπεριονίδας δέπας ἐσκατέβαινεν
χρύσεον, ὄφρα δι' Ὠκεανοῖο περάσας

ἀφίκοιθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον πάιδάς τε φίλους·
ὁ δ' ἐς ἄλσος ἔβα δάφναισι κατάσκιον
ποσσὶ πάις Διός.

ΣΤΟΘΗΡΑΙ.

7. (15.)

. . – – ⏑ – ⏓
– – – ⏖ – ⏓

. . κρύψαι δὲ ῥύγχος
ἄκρον γᾶς ὑπένερθεν

ΕΡΙΦΥΛΑ.

†8. (72.)

– – ⏖ – ⏖ – ⏑ – ⏖

πάτρω' ἐμὸν ἀντίθεον Μελάμποδα

ΙΛΙΟΥ ΠΕΡΣΙΣ.

*9. (24.)

– – ⏖ – ⏖ – – – ⏖ – ⏖ – – – ⏖ – ⏓

ᾤκτιρε γὰρ αὐτὸν ὕδωρ αἰεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν.

ΕΛΕΝΑ. (ΕΛΕΝΑΣ Α.)

10. (46.)

– ⏑ – ⏑ – ⏖ – ⏖ – – – ⏖ – ⏖ – ⏑
– ⏖ – ⏖ – ⏑
– ⏖ – ⏖ – ⏑ – ⏖ – ⏖ – –

πολλὰ μὲν Κυδώνια μᾶλα ποτερρίπτευν ποτὶ δίφρον ἄνακτι,
πολλὰ δὲ μύρσινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

ΠΑΛΙΝΩΙΔΙΑ. (ΕΛΕΝΑΣ Β.)

11. (44.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ – –́ ⏑ –́ –́ –
– –́ ⏑⏑ –́ ⏑⏑ –́ –

Οὐκ ἔστ᾽ ἔτυμος λόγος οὗτος·
οὐδ᾽ ἔβας ἐν ναυσὶν εὐσέλμοις,
οὐδ᾽ ἵκεο πέργαμα Τροίας.

ΟΡΕΣΤΕΙΑ.

†12. (96.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑̄ –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́

Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένα μετ᾽ ἐμεῦ
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας καὶ θαλίας μακάρων

†13. (75.)

. . ⏑⏑ –́ ⏑ –́ –́ ⏑⏑ –́ ⏑ –́ –

ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών

14. (39.)

τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς
ἦρος ἐπερχομένου.

15. (43.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑⏑ –́ ⏑⏑ –́

τᾷ δὲ δράκων ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον·
ἐκ δ᾽ ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἐφάνη.

ΡΑΔΙΝΑ.

16. (55.)

⏑ ⏑ –́ ⏖ –́ –́ ⏖ –́ –́ ⏖ –́ ⏑ –́

Ἄγε Μοῦσα λίγει', ἄρξον ἀοιδᾶς ἐρατ(ωνύμου)
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ.

---

17. (74.)

–́ ⏖ –́ ⏖ –́
– –́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́
⏑ –́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏖ –́ ⏑ –́ –
–́ ⏖ –́ ⏖ . .

οὕνεκα Τυνδάρεος
ῥέζων ποτὲ πᾶσι θεοῖς μούνας λάθετ' ἠπιοδώρου
Κύπριδος· κείνα δὲ Τυνδαρέου κόραις
χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησιν
καὶ λιπεσάνορας.

18. (78.)

–́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏑

Δεῦρ' ἄγε Καλλιόπεια λίγεια.

19.

. . ⏑ –́ ⏑ ⏖́ ⏑ –́ ⏑ –́ ⏑ ⏓

μέτειμι δ' ἐφ' ἕτερον προοίμιον.

20. (71.)

– –́ ⏖ –́ ⏖ –́ ⏓

αὐτόν σε, πυλαιμάχε, πρῶτον

21. (84.)

– –́ ⏑ –́ – –́ ⏖ –́ ⏑ –́

κοιλωνύχων ἵππων πρύτανις <Ποσειδάν>

22. (68.)

. ⏖ ∸
∸ ⏖ ∸ ⏖ ∸ – – ⏑ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸

. . *μάλα τοι [μάλιστα]*
παιγμοσύνας ⟨τε⟩ φιλεῖ μολπάς τ' Ἀπόλλων·
κάδεα δὲ στοναχάς τ' Ἀίδας ἔλαχεν.

23. (79.)

⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ –
– ∸ . .

ἀτελέστατα γὰρ καὶ ἀμάχανα τοὺς θανόντας
κλαίειν.

24. (80.)

⏑ ∸ ⏑ ∸ – ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ – ∸ ⏑ ⏒

θανόντος ἀνδρὸς πᾶσ' ἀπόλλυται ποτ' ἀνθρώπων χάρις.

25. (77.)

⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏒

ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

VIII.

IBYCUS.

1. (1.)*)

∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸
∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸
∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖

*) Numeri adiecti sunt editionis Schneidewinianae.

∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸   ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸   ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ – ∸
∸ ⏑⏑ ∸ ⏑⏑ – ⏑ – –

Ἦρι μὲν αἵ τε Κυδώνιαι
μαλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κᾶπος ἀκήρατος, αἵ τ᾽ οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑφ᾽ ἔρνεσιν
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ᾽ ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν, ἅθ᾽ ὑπὸ στεροπᾶς φλέγων
Θρηίκιος βορέας, ἀίσσων παρὰ Κύπριδος ἀζαλέαις μανίαισιν ἐρεμνὸς ἀθαμβὴς
ἐγκρατέως (πε)δόθεν σαλάσσει

ἁμετέρας φρένας. *ἀντ.*

2. (2.)

⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑
∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑ ∸ –
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ⏓
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ –
⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακέρ᾽ ὄμμασι δερκόμενος
κηλήμασι παντοδαποῖς ἐς ἄπειρα
δίκτυα Κύπριδός ⟨με⟩ βάλλει·
ἦ μὰν τρομέω νιν ἐπερχόμενον,
ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραι
ἀέκων σὺν ὄχεσφι θοοῖς ἐς ἅμιλλαν ἔβα.

3.

⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ∸ ⏖ ∸ ⏖ ∸ ⏑

φλεγέθων, ᾇπερ διὰ νύκτα μακρὰν σείρια παμφα-
νόωντα

4. (3.)

∸ – ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖

Αἰεί μ', ὦ φίλε θυμέ, τανύπτερος ὡς ὅκα πορφυρίς

5. (4.)

∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏑ ⏓

∸ ⏖ ⟨– –⟩ ∸ ⏖ ∸ ⏖ ∸ ⏖

∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏑

Εὐρύαλε, γλαυκέων Χαρίτων θάλος,
καλλικόμων ⟨Μουσᾶν⟩ μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ' ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν.

6. (7.)

∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ –

∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ ⏑ ∸ –

μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα

7. (8.)

∸ ⏖ ∸ ∸ ⏖ ∸ ⏖ ∸ ∸ ⏖ ∸ ⏑ ⏓

τᾶμος ἄυπνος κλυτὸς ὄρθρος ἐγείρῃσιν ἀηδόνας.

8. (15.)

– ∸ ⏖ ∸ – ∸

⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ∸ ⏖ ∸ ⏖ ∸

γλαυκώπιδα Κασσάνδραν,
ἐρασιπλόκαμον κούραν Πριάμου φᾶμις ἔχῃσι βροτῶν

8a.

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑ – – –́ ⏑ –
–́ ⏑⏑ –́   –́ ⏑⏑ –́   –́ ⏑⏑ –́ ⏑⏑ –́   –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –

τοῦ μὲν πετάλοισιν ἐπ' ἀκροτάτοισ' ἱζάνοισι ποικίλαι
πανέλοπες καἰολόδειροι λαθιπορφυρίδες καὶ
ἀλκύονες τανυσίπτεροι

8b.

⏑⏑ –́ ⏑⏑ –́ –

ὀνομακλυτὸν Ὄρφην.

8c.

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

ποικίλα ῥέγματα ⟨καὶ⟩ καλύπτρας,
περόνας τ' ἀναλυσαμένα

8d.

⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –

παρελέξατο Καδμίδι κούρα

8e.

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ – –

οὔτι κατὰ σφετερὰν ἐέλδωρ.

9. (27.)

–́ ⏑ –́ – –́ ⏑ –́
⏑⏑́ ⏑ –́ ⏑ –́ ⏑ ⏑́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑
–́ ⏑⏑ –́ . .

τούς τε λευκίππους κόρους
τέκνα Μολιόνας κτάνον,
ἅλικας ἰσο(πάλους), ἑνιγυίους,
ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ
ἀργυρέῳ.

10. (43.)

πυκινὰς πέμφιγας πιόμενοι

11. (37.)

οὐδὲ Κυάρας ὁ Μηδείων στραταγός

12. (52.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –

δαρὸν δ' (ἄνεω) χρόνον ἧστο τάφει πεπαγώς.

13. (32. 33. 34.)

. . ⏑⏑ –́ –
⏑⏑́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ – –́ ⏑⏑ –́ – –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑

παρὰ χέρσον
λίθινον ἔκλεκτον παλάμαισι βροτῶν·
πρόσθεν νιν πεδ' ἀναριτᾶν
ἰχθύες ὠμοφάγοι νέμοντο.

14. (51.)

⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –

δέδοικα, μή τι παρ θεοῖς
ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω.

15. (39.)

⟨⏖ ⏗ ⏖ ⏗⟩ ⏖ ⏗ ⏖ ⏗ ⏖ ⏗ ⏑ ⏒
⏗ ⏖ ⏗ ⏖ ⏗ ⏑ ⏗ –

⟨τάχα κέν τις ἀνὴρ⟩ Ἔριδος ποτὶ μάργον ἔχων στόμα
ἀντία δῆριν (ἐμοὶ) κορύσσοι.

16.

– ⏗ ⏖ ⏗ ⏖ ⏗ – ⏗ ⏖ ⏗ ⏖ ⏗ –

οὐκ ἔστιν ἀποφθιμένοις ζωᾶς ἔτι φάρμακον εὑρεῖν.

IX.

PYTHERMUS.

Οὐδὲν ἦν ἄρα τἆλλα πλὴν ὁ χρυσός.

X.

ANACREON.

1. (1.)*)

Γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
  δέσποιν' Ἄρτεμι θηρῶν·
ἵκευ νῦν, ἐπὶ Ληθαίου
δίνῃσι θρασυκαρδίων

*) Numeri adiecti sunt editionis Bergkianae.

ἀνδρῶν ἐσκατόρα πόλιν
χαίρουσ᾽ · οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

2. (2.)

Ὦ ᾽ναξ, ᾧ δαμάλης Ἔρως
καὶ Νύμφαι κυανώπιδες
πορφυρῆ τ᾽ Ἀφροδίτη
συμπαίζουσιν, ἐπιστρέφεαι δ᾽
ὑψηλῶν κορυφὰς ὀρέων,
γουνοῦμαί σε· σὺ δ᾽ εὐμενὴς
ἔλθ᾽ ἡμῖν, κεχαρισμένης δ᾽
εὐχωλῆς ἐπακούειν.
Κλευβούλῳ δ᾽ ἀγαθὸς γενεῦ
σύμβουλος· τὸν ἐμὸν δ᾽ ἔρωτ᾽,
ὦ Δεύνυσε, δέχεσθαι.

3. (3.)

Κλευβούλου μὲν ἔγωγ᾽ ἐρέω,
Κλευβούλῳ δ᾽ ἐπιμαίνομαι,
Κλεύβουλον δὲ διοσκέω.

4. (4.)

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ᾽ οὐ (κοεῖς),
οὐκ εἰδώς, ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

5. (7.)

Μεὶς μὲν δὴ Ποσιδηιὼν
ἕστηκεν, νεφέλαι δ᾽ ὕδ(ει)
⟨βρίθονται⟩, βαρὺ δ᾽ ἄγριοι
χειμῶνες παταγεῦσιν.

6. (8.)

Ἔγω(γ)' οὔτ' ἂν Ἀμαλθείης
βουλοίμην κέρας, οὔτ' ἔτεα
πεντήκοντά τε κἀκατὸν
Ταρτησσοῦ βασιλεῦσαι.

7. (9.)

. . . . τί μήν; πέτεαι
συρίγγων κοϊλώτερα
στήθεα χρισάμενος μύρῳ.

8. (37.)

οὖτος δηὖτε Θαλυσίοις
τίλλει τοὺς κυανασπίδας.

9. (15.)

Σφαίρῃ δηὖτέ με πορφυρῇ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται·
ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλην τινὰ χάσκει.

*10.

. . . ἐπὶ δ' ἴαχεν
Ζηνὸς ὑψερεφὴς δόμος
(ζαχρειές).

11. (38.)

σὲ γὰρ
φὴ Ταργήλιος ἐμμελέως
δισκεῖν.

12.

Οὐ δηὖτ' ἔμπεδός εἰμι
οὐδ' ἀστοῖσι προσηνής.

13. (16.)

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παιδ' ἁβρῇ.

14. (5.)

ψάλλω δ' εἰκοσ(ίχορδον)
⟨ἐν χερσὶν⟩ μαγάδιν ἔχων, ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

15. (17.)

Ἀρθεὶς δηὖτ' ἀπὸ Λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

16. (18.)

. . . τίς ἐρασμίην
τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν
ὀρχεῖται;

17. (32.)

ἱπποθόρων (δὲ) Μυσοὶ
εὑρεῖν μεῖξιν ὄνων [πρὸς ἵππους]

18. (19.)

ξανθῇ δ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων.

19. (19.)

Πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ
πλευρῇσι ⟨δέρριον⟩ βοός,

νήπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
κἀθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων χρύσεα φορέων καθέρματα,
πάις Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ
γυναιξὶν αὔτως ⟨ἐμφερής⟩.

20. (20.)

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.

21. (21.)

Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

22. (22.)

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις
διὰ τὸν Ἔρωτ'· οὐ γὰρ ἐμοὶ ⟨παῖς ἐ⟩θέλει συνηβᾶν.

23. (23.)

⟨ὅς⟩ μ' ἐσιδὼν γένειον
ὑποπόλιον χρυσοφαείνων πτερύγων ἀήταις
παραπέτεται.

24. (26.)

ἀσπίδα ῥίψ(ας) ποταμοῦ καλλιρόου (παρ' ὄχθας)

25. (122.)

. . . . ἐγὼ δ' ἀπ' αὐτῆς φύγω ὥστε κόκκυξ.

26. (27.)

Τον μυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

27. (28.)

δακρυόεσσάν τ' ἐφίλησεν αἰχμήν.

28. (29.)

ᾠνοχόει δ' ἀμφίπολος μελιχρὸν
οἶνον, τρικύαθον κελέβην ἔχουσα.

29. (30.)

οὐδ' ἀργυρῆ κώκοτ' ἔλαμπε πειθώ.

---

30. (39.)

⟨ὁ⟩ Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες ἐπεί τε
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

31. (40.)

καθαρῇ δ' ἐν κελέβῃ πέντε ⟨τε⟩ καὶ τρεῖς ἀναχείσθω.

32. (41.)

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέτ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντες.
γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς.
Ἀίδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλῆ δ' ἐς αὐτὸν
κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.

33. (43.)

ἔραμαι ⟨δέ⟩ τοι συνηβᾶν· χαρίεν γὰρ ἦθος (ἴσχεις).

34. (42.)

ἐμὲ γὰρ λόγων ⟨ἐμῶν⟩ εἵνεκα παῖδες ἂν φιλοῖεν·
χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

35. (51.)

. . . μυθιῆται δ' ἀνὰ νῆσον, ⟨ὦ⟩ Μεγίστη,
διέπουσιν ἱρὸν ἄστυ.

36. (35.)

χήλινον ἄγγος
. . . . . ἔχον πυθμένας (ἀγρίων) σελίνων

37. (36.)

. . . . . ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι.

38. (37.)

πλεκτὰς δ'
ὑποθυμίδας περὶ στήθεσι λωτίνας ἔθεντο.

39. (44.)

. . . . ἀστραγάλαι δ' Ἔρωτός εἰσιν
μανίαι τε καὶ κύδοιμοι.

40. (57.)

ἀπὸ δ' ἐξείλετο θεσμὸν μέγαν

41. (58.)

ἐκδῦσα χιτῶνα δωριάζειν

42. (59.)

. . . καί μ' ἐπίβωτον κατὰ γείτονας ποιήσεις.

43. (60.)

Παρὰ δηὖτε Πυθόμανδρον κατέδυν Ἔρωτα φεύγων.

44. (61.)

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ, φέρε δ' ἀνθεμοῦντας ἡμῖν
στεφάνους, ἔνεικον, ὡς δὴ πρὸς Ἔρωτα πυκταλίζω.

45. (62.)

Ἄγε δή, φέρ' ἡμίν, ὦ παῖ, κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβρίστως ἀνὰ δηὖτε βασσαρήσω.

45a.

ἄγε δηὖτε μηκέτ' οὕτω πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

46. (63.)

χθόνιον δέ μ' αὖτ' (ὄνειρον)

*47. (64.)

⟨τὸν⟩ Ἔρωτα γὰρ τὸν ἁβρὸν μέλομαι βρύοντα μίτραις
πολυανθέμοις ἀείδειν· ὅδε γὰρ θεῶν δυναστής,
ὅδε καὶ βροτοὺς δαμάζει.

48. (45.)

Μεγάλῳ δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεὺς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

49. (46.)

(Πρὸς Σμερδίην.)

ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

50. (47.)

. . . Θρηικίην σίοντα χαίτην

51. (48.)

Ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

52. (49.)

ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ' ἐν ὕλῃ κεροέσσης
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

53. (50.)

σινάμωροι πολεμίζουσι θυρωρῷ.

54. (52.)

Σικελὸν κότταβον ἀγκύλῃ λατάζων

55. (53.)

ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὁρτὴν ἀγάγωμεν
Διονύσῳ.

56. (65.)

ἀλλὰ πρόπινε
ῥαδινούς, ὦ φίλε, μηρούς.

57. (54.)

Διονύσου σαῦλαι Βασσαρίδες

*58. (55.)

οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν;

59. (56.)

φίλη γὰρ εἶς ξείνοισ'· ἔασον δέ με διψῶντα πιεῖν.

---

60. (66.)

Ἡδυμελὲς χαρίεσσα χελιδοῖ

61. (67.)

Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.

62.

αἰνοπάθην <ἵνα> πατρίδ' ἐπόψομαι.

63. (73.)

καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς.

64. (74.)

Ὀρσόλοπος μὲν Ἄρης φιλεῖ μεναίχμην.

65. (75.)

οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν

66. (76.)

νῦν δ᾽ ἀπὸ μὲν στέφανος πόλεος ὄλωλεν.

*67.

Ἀστερίς, οὔτε σ᾽ ἐγὼ φιλέω οὔτ᾽ Ἀπελλῆς.

68. (77.)

βούλεται ἠπεροπός ⟨τις⟩ ἡμὶν εἶναι.

69. (78.)

ἐγὼ δὲ μισέω
πάντας, ὅσοι χθονίους ἔχουσι ῥυσμοὺς
καὶ χαλεπούς· μεμάθηκά σ᾽, (ὦ) Μεγίστη,
τῶν ἀβακιζομένων.

---

70. (79.)

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασιν βλέπουσα
νηλεῶς φεύγεις, δοκεῖς δέ μ᾽ οὐδὲν εἰδέναι σοφόν;

ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ᾽ ἔχων στρέφοιμί ⟨σ᾽⟩ ἀμφὶ τέρματα δρόμου.

νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

71. (80.)

Κλῦθί μευ γέροντος, εὐέθειρα χρυσόπεπλε κούρη.

72. (82.)

⟨ἐν⟩ μελαμφύλλῳ δάφνῃ χλωρῇ τ' ἐλαίῃ ταντalίζει.

73. (81.)

εὖτέ μοι λευκαὶ μελαίνῃσ' ἀναμεμείξονται τρίχες.

74. (Ep. 19.)

Ἀλκίμων σ', ὦ 'ριστοκλείδη, πρῶτον οἰκτίρω φίλων·
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουλητην.

75.

αἵ δέ μευ φρένες
ἐκκεκωφέαται.

76. (83.)

κοίμισον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.

77 a. b. (98.)

διὰ δὲ δέρην ἔκοψε μέσσην . .
καδ δὲ λῶπος ἐσχίσθη . .

78. (94.)

ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ λευκολόφῳ μεστὸν ἐξέπινον.

79. (95.)

στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

*80. (85.)

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης ⟨τε⟩ μοῦνον καὶ πυρὸς κεχρημένοις.

81. (86.)

Πάλαι κοτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

82. (84.)

καὶ θάλαμος, ἐν τῷ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

83. (87.)

Κνύζη τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.

84. (88.)

κοὐ μοκλὸν ἐν θύρῃσι διξῇσιν βαλὼν
ἥσυχος καθεύδει.

85. (89.)

Ἐρῶ τε δηὖτε κοὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

86. (90.)

μηδ' ὥστε κῦμα πόντιον
λάλαξε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

87. (91.)

διὰ δηὖτε Καρικουργέος
ὀχάνοιο χεῖρα τιθέμενοι

*88. (92.)

Ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

89. (93.)

(Ὦ 'ραννὲ δὴ) λίην,
πολλοῖσι γὰρ μέλεις.

89 a.

λίην δὲ δειλιάζεις.

ΕΛΕΓΕΙΑ.

90. (69.)

Οὐ φιλέω, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

91. (68.)

οὐδέ τί τοι πρὸς θυμόν, ὅμως γε μένω σ' ἀδοιάστως.

92. (71.)

οὐκέτι Θρηϊκίης <παιδὸς> ἐπιστρέφομαι.

93. (72.)

οἰνοπότης δὲ πεποίημαι.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

94. (Ep. 15.)

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις·
οὔτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

95. (Ep. 14.)

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

96. (Ep. 9.)

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

97. (Ep. 5.)

Πρὶν μὲν Καλλιτέλης ἱδρύσατο· τόνδε δ' ἐκείνου
ἔγγονοι ἐστήσανθ', οἷς χάριν ἀντιδίδου.

98. (Ep. 6.)

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

*99. (Ep. 7.)

Παιδὶ φιλοστεφάνῳ Σεμέλας ἀνέθηκε Μέλανθος,
μνᾶμα χοροῦ νίκας υἱὸς Ἀρηϊφίλου.

100. (Ep. 4.)

Πρόφρων, ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

101. (Ep. 10.)

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

102. (Ep. 13.)

Τελλία ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

103. (Ep. 16.)

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

[104.] (Ep. 3.)

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

[105.] (Ep. 2.)

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
ἄγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

[106.] (Ep. 8.)

Ῥυσαμένα Πύθωνα δυσαχέος ἐκ πολέμοιο
ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται.

[107.] (Ep. 1.)

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιὰς ἥ τε παρ' αὐτὴν
Ξανθίππη Γλαύκη τ' εἰς χορὸν ἐρχόμεναι
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.

[108.] (Ep. 17.)

Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

[109.] (Ep. 18.)

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθέν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

XI.

LASUS.

ΥΜΝΟΣ ΕΙΣ ΤΗΝ ΕΡΜΙΟΝΙ ΔΗΜΗΤΡΑ

– ⊥ ⏑ ⊥ ⊥ ⏑ ⊥ ⊥ ⏑⏑ ⊥ ⏑⏑ –
– ⏑⏑ ⏑ – ⊥ ⏑⏑ –
⊥ ⏑⏑ ⏑⏑ ⏑ ⊥ ⏑⏑ ⊥ ⏑⏑ ⊥

Δάματρα μέλπω κόραν τε Κλυμένοι' ἄλοχον
μελιβόαν ὕμνων ἀναγνέων
Αἰολίδ' ἀνὰ βαρύβρομον ἁρμονίαν.

XII.
TELESILLA.

– –́ ⏑⏑ –́ ⏑ ·

"Αδ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

XIII.
SIMONIDES.

ΕΓΚΩΜΙΑ.

1. (9.)*)

Εἰς τοὺς ἐν Θερμοπύλαις θανόντας.

–́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –́ –
–́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ – –́ ⏑ ⏒
– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́ ⏑⏑ –́ –́ ⏑ ⏒ . . .

Τῶν ἐν Θερμοπύλαισι θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,

---

*) Numeri adiecti sunt editionis Schneidewinianae.

βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' οἶκτος
ἔπαινος·
ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς
οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος.
ἀνδρῶν ἀγαθῶν ὅδε σακὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο· μαρτυρεῖ δὲ Λεωνίδας
ὁ Σπάρτας βασιλεύς, ἀρετᾶς μέγαν λελοιπὼς
κόσμον ἀέναόν τε κλέος.

2. (2. 3.)

Εἰς τὴν ἐπὶ Ἀρτεμισίῳ ναυμαχίαν.

⏑ –́ ⏓ –́ ⏑ –́ ⏒

ἐβόμβησεν θάλασσα.

ἀποτρέπουσι κῆρας

†3. (12.)

Σκόπα τῷ Κρέοντος Θεσσαλῷ.

–́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́   –́ ⏖ –́
– –́ ⏑ –́ ⏖ –́ ⏑ –́   –́ ⏑ –́ ⏖ –́ ⏑ –́ ⏓ –́ ⏑ –́
⏖ –́ ⏑ –́   –́ ⏑ –́ ⏖ –́ ⏑ –́   –́ ⏑ –́ ⏖ –́ ⏑ ⏒
⏖ –́ ⏑ –́   –́ ⏑ –́ ⏖ –́
– –́ ⏑ –́   –́ ⏑ –́ ⏖ –́
⏑ –́   –́ ⏑ –́ –
–́ ⏑ –́ ⏖ –́ ⏓ –́ ⏑ –́ ⏑ –́ ⏓

α'

Ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπόν,
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ
ψόγου τετυγμένον.

β'

οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν
φάτ' ἐσθλὸν ἔμμεναι.

θεὸς ἂν μόνος τοῦτ᾽ ἔχοι γέρας· ἄνδρα δ᾽ οὐκ ἔστι
μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἀμάχανος συμφορὰ καθέλῃ.
πράξας γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ᾽, εἰ κακῶς, καὶ
τοὐπὶ πλεῖστον ἄριστοι, τούς κε θεοὶ φιλέωντι.

γ′

τοὔνεκεν οὔποτ᾽ ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν
διζήμενος κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν
αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυέδεος ὅσοι καρπὸν
αἰνύμεθα χθονός·
ἐπί τ᾽ ὔμμιν εὑρὼν ἀπαγγελέω.
πάντας δ᾽ ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἕρδῃ
μηδὲν αἰσχρόν· ἀνάγκᾳ δ᾽ οὐδὲ θεοὶ μάχονται.

δ′

. . . .
ἐξαρκεῖ γ᾽ ἐμοί,
ὃς ἂν ᾖ κακὸς μηδ᾽ ἄγαν ἀπάλαμνος, εἰδώς γ᾽
ὀνασίπολιν δίκαν,
ὑγιὴς ἀνήρ· οὐδὲ μή μιν ἐγὼ
μωμάσομαι· τῶν γὰρ ἀλιθίων
ἀπείρων γενέθλα.
πάντα τοι καλά, τοῖσί τ᾽ αἰσχρὰ μὴ μέμικται.

ΕΠΙΝΙΚΟΙ.

4. (17.)

Ἀναξίλᾳ Ῥηγίνῳ ἀπήνῃ.

– ⏑⏑ – ⏑⏑ – ⏑ – ⏑ – –

Χαίρετ᾽ ἀελλοπόδων θύγατρες ἵππων.

5. (20.)

Γλαύκῳ Καρυστίῳ πύκτῃ.

. . –́ ⏑ ⏑⏑ – –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
– ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́

οὐδὲ Πολυδεύκεος βία
χεῖρας ἀντείναιτ' ἂν ἐναντί(ον) αὐτῷ,
οὐδὲ σιδάρεον Ἀλκμήνας τέκος.

6. (28.)

Ἀστύλῳ Κροτωνιάτῃ.

–́ –́ –́ ⏑ –́ ⏑ –́ ⏑
⏑⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

τίς δὴ τῶν ⟨γε⟩ νῦν τοσάσδε
πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας
ἐν ἀγῶνι περικτιόνων;

6a.

Ὀρσίλᾳ ἡνιόχῳ.

–́ ⏑ –́ – –́ ⏑ –́

Πώλυπον διζήμενος

7. (18.)

–́ ⏑⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ ⏑̄
–́ ⏑⏑ –́ ⏑⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ – –́ ⏑⏑ –́ –́ ⏑ –́
–́ ⏑⏑ –́ . .

ὡς ὁπόταν χειμέριον κατὰ μῆνα πινύσκῃ
Ζεὺς ἄματα τέσσαρα καὶ δέκα,
λαθάνεμόν τέ μιν ὥραν καλέουσιν ἐπιχθόνιοι
ἱρὰν παιδοτρόφον ποικίλας
ἀλκυόνος.

8. (19.)

⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
– –́ ⏑ –́   –́ ⏑ –́ ⏑ –́ ⏑ –́

Ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως
ἐλθὼν ἐς ⟨εὔ⟩δενδρον ἀγλαὸν Διὸς
τέμενος.

9. (11.)

Πῖνε, πῖν' ἐπὶ συμφοραῖς

†10. (15.)

– –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́   –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ –

ἱπποτροφία γὰρ οὐ Ζακύνθῳ,
ἀλλ' ἀρούραισι πυροφόροις ὀπαδεῖ.

†11.

. . ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –

κονία δὲ παρὰ τροχὸν μεταμώνιος ἀέρθη.

†12. (16.)

–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ ⏑

μὴ βάλῃ φοίνικας ἐκ χειρῶν ἱμάντας

†13. (27.)

⏑ –́ ⏑ –́ ⏑ –́   –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́   –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

δίδωτι δ' εὖ τὶν Ἑρμᾶς ἐναγώνιος,
Μαιάδος οὐρείας ἑλικοβλεφάρου παῖς· ἔτικτε δ' Ἄτλας
ἑπτὰ ἰοπλοκάμων φιλᾶν θυγατρῶν τάν γ' ἔξοχον εἶδος,
ταὶ καλέονται Πελειάδες οὐράνιαι.

ΥΠΟΡΧΗΜΑΤΑ.

14. (43.)

⏖ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⏑̇
⏑ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⊥
⏖ ⊥ ⏖ ⊥ ⏖ ⊥ ⏖ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⊥ –

ἀπέλαστον ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ
ἐλελιζόμενος ποδὶ μίμεο, καμπύλον μέλος διώκων.

15. (44.)

. . ⊥ ⏑
⏖ ⊥ ⏖ ⊥ ⏖ ⊥ ⏖ ⊥
⏖ ⊥ ⏖ ⊥ ⏖ ⊥ –
⊥ ⏑ ⊥ ⏑ ⊥   ⊥ ⏖ ⊥
⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏖ ⊥   ⊥ ⏑ ⊥
⊥ ⏑ ⊥ ⏑ . .

οἷος
ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον
πέταται θάνατον κεροέσσᾳ
εὑρέμεν (ματεύων) ἐλάφῳ·
τὰν δ' ἐπ' αὐχένι στρέφοισαν (ἕτειρ') ὂν κάρα
πάντ' (ἐπ') οἶμον.

16. (45.)

– ⊥ ⏖ ⊥ ⏑ ⊥   ⊥ ⏑ ⊥   ⊥ ⏑ ⊥   ⊥ ⏑ ⊥
⊥ ⏑ ⊥ ⏖ ⊥ ⏖ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⊥ ⏑

ῥῶσαί νυν ἐλαφρὸν ὄρχημ' ἀοιδᾷ ποδῶν μιγνύμεν·
Κρῆτά μιν καλέουσι τρόπον, τὸ δ' ὄργανον Μολοσσόν.

ΘΡΗΝΟΙ.

17. (46.)

Εἰς Σκοπάδας.

– ⊥ ⏖ ⊥   ⊥ ⏖ ⊥   ⊥ ⏖ ⊥ ⏖ ⊥ ⏑ ⊥
– ⊥ ⏖ ⊥   ⊥ ⏖ ⊥   ⊥ ⏖ ⊥ ⏑ ⊥

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ –
–́   –́   –́ ⏑ –́ ⏑⏑ . .

Ἄνθρωπος ἐὼν μήποτε φάσῃς ὅ τι γίνεται αὔριον,
μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·
ὠκεῖα γὰρ οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

18. (51.)

–́ ⏑⏑ –́ ⏑⏑ –́   ⏑⏑́ ⏑ –́ ⏑
– –́ ⏑ –́   –́ ⏑⏑ –́   –́ ⏑ –́ ⏑⏑ –́
⏑⏑́ ⏑ –́   –́ ⏑⏑ –́ ⏑ –́ – –́ ⏑ –́
– –́ ⏑ –́ – –́ ⏑⏑ –́   –́ ⏒

οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἐξ ἀνάκτων ἐγένονθ' υἷες ἡμίθεοι,
ἄπονον οὐδ' ἄφθιτον οὐδ' ἀκίνδυνον βίον
ἐς γῆρας ἐξίκοντο τελέσσαντες.

†19. (52.)

–́ ⏑ –́ ⏑⏑ –́ – –́ – –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑

πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν,
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.

†20. (54.)

–́ – –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑ ⏑̇
– –́ ⏑⏑ –́   –́ ⏑⏑ –́ ⏑⏑ –́
⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ . .

Ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες,
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον μέρος οἵ τ' ἀγαθοὶ
ὅστις τε κακός.

21.

– – ⏑⏑ – ⏑⏑ – –
– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ –
– ⏑ – ⏑ – ⏑ – – – ⏑⏑ – ⏑⏑ –

λευκᾶς καθύπερθε γαλάνας
εὐπρόσωποί σφας παράιξαν ἔρωτες ναΐας
κλαΐδος χαραξιπόντου δαιμονίαν ἐς ὕβριν.

22. (50.)

Stropha.

– ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ – – – ⏑ ⏒
– ⏑⏑ – ⏑ – ⏑⏑ – –
⏑⏑ – – – ⏑⏑ –   – ⏑⏑ – –
– ⏑⏑ – ⏑⏑ – –
– ⏑⏑ – – – ⏑⏑ – ⏑⏑ – ⏑ –
– – ⏑ –   – ⏑ – ⏑ – ⏑ – ⏓
⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ –   – ⏑⏑ –
– – – ⏑⏑ – –
– ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – – ⏑ – ⏓

Epodus.

– ⏑ – – – ⏑⏑ – ⏑ –
– ⏑⏑ –   – ⏑ –   – ⏑⏑ – ⏑ – –
⏑⏑ –   – ⏑⏑ – ⏑ – ⏑ – ⏑
– ⏑ – ⏑⏑ – ⏑ –
⏑ – ⏑⏑ – ⏑ – ⏑ – – – ⏑⏑ – ⏑ ⏒
⏑⏑ –   – ⏑ ⏑⏑ ⏑ ⏒
– ⏑ – – – ⏑⏑ – – – ⏑ –

ὅτε λάρνακι [ἐν] δαιδαλέᾳ ἄνεμος τε μὴν πνέων
κινηθεῖσά τε λίμνα,
δείματί ⟨τ'⟩ ἤριπεν (οὐκ) ἀδιάντοισιν παρειαῖς
ἀντ.
ἀμφί τε Περσέι βάλλε φίλαν χέρ', εἶπέν τ'· 'ὦ τέκος,
οἷον ἔχω πόνον· σὺ δ' ἀωτεῖς·

γαλαθηνῷ δ' ἤθεϊ κνώσσεις ἐν ἀτερπεῖ
δούρατι χαλκεογόμφῳ,
νυκτὶ ἀλαμπεῖ κυανέῳ τε δνόφῳ (ταθείς)·
(ἅλμαν) δ' ὕπερθεν τεᾶν κομᾶν βαθεῖαν
παριόντος κύματος οὐκ ἀλέγεις, οὐδ' ἀνέμων
φθόγγον, πορφυρέ(αισιν)
κείμενος ἐν χλανί(σιν), προσ(έχων) καλὸν πρόσωπον.

ἐπ.

εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν ὑπεῖχες οὖας.
κέλομ' εὗδε βρέφος, εὑδέτω δὲ πόντος,
εὑδέτω <δ'> ἄμετρον κακόν·
μεταιβολία δέ τις φανείη, Ζεῦ πάτερ, ἐκ σέο.
ὅτι δὴ θαρσαλέον ἔπος
εὔχομαι (καὶ νόσφι) δίκας, σύγγνωθί μοι.'

23. (18.)

∸ ⏖ ∸ ⏖ ∸
– ∸ – ∸ ⏖ ∸ ⏖ ∸
⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸
∸ ⏑ ⏖ – ∸ ⏖ ∸ ⏖ ∸ –

τοῦ καὶ ἀπειρέσιοι
πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς,
ἀνὰ δ' ἰχθύες ὀρθοὶ κυανέου
ἐξ ὕδατος ἅλλοντο καλᾷ σὺν ἀοιδᾷ.

24. (18.)

∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ∸ ⏑ ∸ ⏖ ∸
– ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏖ ∸ ⏑
⏖ ∸ ⏖ ∸ ⏖ ∸

οὐδὲ γὰρ ἐννοσίφυλλος ἀήτα τότ' ὦρτ' ἀνέμων,
ἅτις κατεκώλυε κιδναμένα μελιαδέα γᾶρυν
ἀραρεῖν ἀκοαῖσι βροτῶν.

25. (69.)

–́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –

ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

26. (72.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ ⏑̇

Σχέτλιε παῖ δολόμηδες Ἀφροδίτας,
τὸν Ἄρει (κακ)ομαχάνῳ τέκεν

27. (73.)

–́ ⏑ –́ ⏑ –́ ⏑ ⏑́⏑ ⏑ –́
–́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –

ἔνθα χερνίβεσσιν ἀρύεται
Μοισᾶν καλλικόμων ὑπένερθεν ἁγνὸν ὕδωρ

28. (74.)

– –́ ⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́

⏑⏑ –́ ⏑́⏑ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ ⏑̇
– –́ ⏑ –́ ⏑⏑ –́ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –

Ἁγνᾶν ἐπίσκοπε Κλειοῖ χερνίβων,
πολύλιστον ἀρύοντεσσι νᾶ⟨μα⟩, χρυσόπεπλ(ε),
εὐῶδες ἀμβροσίων ἐκ μυχῶν ἐραννὸν ὕδωρ λάβοις.

29. 30. (75. 77.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑̇
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑

ἁ Μοῖσα γὰρ οὐκ ἀπόρως γεύει τὸ παρὸν μόνον, ἀλλ' ἐπέρχεται
πάντα θεριζομένα· μή μοι καταπαύετ', ἐπείπερ ἄρξατο
τερπνοτάτων μελέων ὁ καλλιβόας πολύχορδος αὐλός.

31. (76.)

. . ⏑ ⏒ – ⏒ ⏑ ⏒
– ⏒ ⏖ ⏒ ⏖ ⏒

ὁμιλεῖ δ' ἄνθεσιν
ξανθὸν μέλι μηδομένα.

32. (85.)

⏑ ⏒ ⏑ ⏒ ⏑ ⏒ ⏑ ⏒ – ⏒ ⏑ ⏒
⏒ ⏖ ⏒ ⏑ ⏒ ⏑ ⏒
⏒ ⏖ ⏒ ⏑ ⏒ ⏑ ⏒ ⏒ ⏑ ⏒ ⏑

(ὁ δ' ἵκετ') ἐς Κόρινθον, οὐ Μαγνησίαν
ναῖ', ἀλόχου δὲ Κολχίδος
σύν(θρονος ἄστεος) Λεχαίου τ' ἄνασσεν.

33. (91.)

⏒ ⏖ ⏒ ⏖ ⏒ – ⏒ ⏑ ⏒ ⏖ . .

καὶ σὺ μέν, εἴκοσι παίδων μᾶτερ, ἔλλαθι.

34. (94.)

⏑ ⏒ ⏑ ⏒ ⏑ ⏒ ⏒ ⏖ ⏒ ⏖ ⏑ –

Κορινθίοισιν οὐ μανίει, οὐδὲ Δαναοί.

35. (7.)

– ⏒ ⏖ ⏒ ⏖ ⏒
⏖ ⏒ ⏖ ⏒ ⏖ ⏒ ⏖ ⏒ ⏑

ἴσχει δέ με πορφυρέας
ἁλὸς ἀμφιταρασσομένας ὀρυμαγδός.

36. (26.)

⏑ ⏒ ⏖ ⏒ ⏑ ⏒ ⏖ ⏑ ⏒ –
– ⏒ ⏑ ⏒ ⏑ ⏒ ⏑ ⏖ – ⏒ ⏑ ⏒

⟨Εὐρυδίκας⟩
ἰοστεφάνου γλυκεῖαν ἐδάκρυσαν
ψυχὰν ἀποπνέοντα γαλαθηνὸν τέκος.

37. (25.)

. . – –́ ⏑ –́ –
– –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́
⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –
– –́ ⏑⏑ –́ ⏑ –́ – –́ ⏑ ⏑⏑ – –́ ⏑ –́ –

ὅς δουρὶ πάντας
νίκασε νέους δινάεντα βαλὼν
Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ·
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

38. (29.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑ –́ ⏑ –́ –́ ⏑ –́ –
⏑⏑ –́ – . .

φοινίκεον ἱστίον ὑγρῷ
πεφυρμένον πρινὸς ἄνθει
ἐριθάλλου

39. (30.)

⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –́ ⏑ ⏑⏑ ⏑ –́ –

βιότου κέ σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

40. (10.)

–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –́ –
⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ –

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεό-
βουλον
ἀενάοις ποταμοῖσιν ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντί⟨α⟩ θέντα μένος στάλας;

ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε
βουλά.

41. (32.)

–́ ⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ –
– –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ –́ –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑
– –́ ⏑⏑ –́ – –́ –
–́ ⏑ –́ ⏑⏑ –́ –́ ⏑ –́ ⏑
–́ – –́ . .

Ἔστι τις λόγος
τὰν ἀρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις·
(ἁγνὰν) δέ μιν (θεὰν) χῶρον ἁγνὸν ἀμφέπειν.
οὐδὲ πάντων βλεφάροις θνατῶν ἔσοπτος,
ᾧ μὴ δακέθυμος ἱδρὼς
ἔνδοθεν μόλῃ, ἵκῃ τ' ἐς ἄκρον
ἀνδρείας.

42. (83.)

τοῦτο γὰρ μάλιστα φῆρ ἔστυγε πύιρ.

43. (24.)

– –́ ⏑ –́ – –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑ –́ –

ὦ 'νθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γᾶς ἐκείνων.

44. (33.)

Οὔτις ἄνευ θεῶν
ἀρετὰν λάβεν, οὐ πόλις, οὐ βροτός.
θεὸς ὁ πάμμητις· ἀπήμαντον δὲ
οὐδέν ἐστιν ἐν (ἀνθρώποις).

[45.]

. . – –́ ⏑ ⏑̇
⏑ ⏑⏑̇ ⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ ⏑⏑ –́ – –́ ⏑⏑ . .

οὐκ ἔστιν κακὸν
ἀνεπιδόκητον ἀνθρώποις, ὀλίγῳ δὲ χρόνῳ
πάντα μεταρρίπτει θεός.

46. (104.)

–́ ⏑ –́ ⏖ –́ ⏖ –́

ἔσχατον δύεται κατὰ γᾶς.

47. (105.)

⏖ –́ ⏑ –́ ⏖ –́ ⏑ ⏑̇
–́ ⏖ –́ ⏖ –́

παρὰ χρυσὸν ἑφθὸν ἀκήρατον
(οὐλο)μόλυβδ(ος ἐών)

48. (106.)

⏑ –́ ⏖ –́ ⏖ –́ – ⏖̇ ⏑ –

ὁ δ' αὖ θάνατος κίχε καὶ τὸν φυγόμαχον.

49. (107.)

–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́

ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

50. (109.)

πόλις ἄνδρα διδάσκει.

51. (110.)

–́ – –́ ⏖ –́ ⏑ –́
–́ ⏖ –́ ⏑ –́ –

πάσαισιν κορυδαλλίσιν
χρὴ λόφον ἐγγενέσθαι.

52. (111.)

⏑ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏑ –́ –

τὸ γὰρ γεγενημένον οὐκέτ' ἄρεκτον ἔσται.

53. (116.)

–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ ⏑̄
– –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑

οὐδὲ καλᾶς σοφίας ἐστὶν χάρις,
εἰ μή τις ἔχει σεμνὰν ὑγίειαν.

54. (117.)

–́ ⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏑̄
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ –

τίς γὰρ ἁδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς ἢ ποία τυραννίς;
τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών.

55. (119.)

. . –́ ⏑⏑ –́
⏑ –́ ⏑ ⏑⏑ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́

πορφυρέου
ἀπὸ στόματος ἱεῖσα φωνὰν παρθένος

56. (120.)

–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́
– – ⏑⏑ –́ ⏑⏑ –́

εὖτ' ἀηδόνες πολυκώτιλοι,
χλωραύχενες, εἰαριναί

57. (121.)

–́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑ –́ –

Ἄγγελε κλυτὰ ἔαρος ἁδυόδμου,
κυανέα χελιδοῖ

58. (124.)

. . –́ ⏑ –́   –́ ⏑⏑ ⏑̄
–́ ⏑ –́ ⏑ ⏑́⏑ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑
⏑ ⏑́⏑ ⏑ –́ – . .

ἐξελέγχει ⟨δ'⟩ ὁ νέος
οἶνος οὐ τὸ πέρυσι δῶρον ἀμπέλου· ὁ δὲ μῦθος
ὅδε κενεόφρων.

59. (59.)

ξεινοδόκων δ' ἄριστος
ὁ χρυσὸς ἐν αἰθέρι λάμπων.

60. (125.)

. . ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –

τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται.

61.

μόνος ἅλιος ἐν οὐρανῷ.

62. (128.)

–́ ⏑ –́ – –́ ⏑ –́ –

(εἶσ') ἅλα στίζοισα πνοιά.

63. (133.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

οὗτος δέ τοι ἥδυμον ὕπνον ἔχων

64. (147 c.)

. . ⏑⏑ –́ –
– –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́

ἐνὶ δ' οἴῳ
εἶκει θεὰ μέγαν ἐς δίφρον.

65. (123.)

⏓ ⏖ ⏓ ⏑ ⏓ –

ἱμερόφων' ἀλέκτωρ

66. (11.)

οἶνον ἀμύντορα δυσφροσυνᾶν

ΕΛΕΓΕΙΑ.

67.

εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος . . .
δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

68. (59.)

(Εἰς τὴν ἐν Πλαταιαῖς μάχην.)

μέσσοι δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ.

οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ, νέμοντες,
οἵ⟨περ⟩ κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων.

69. (60.)

ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
'οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.'
παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ·
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρησέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.

νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότοι' ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

70. (65.)

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

71. (68.)

οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.

72. (204.)

μνήμην δ' οὔτινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

73. (227.)

Τήν ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίνων ἔδακεν φρένας, αὐτὰρ (ἐθάφθη)
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

Ἐπικήδεια.

74. (148.)

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

*75. (149.)

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

[76.]

Μηδὲν ἁμαρτεῖν ἐστι θεοῦ καὶ πάντα κατορθοῦν.

77. (150.)

Μυριάσιν ποτὲ τῇδε τριακοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

78. (151.)

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

79. (152.)

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

[80.] (155.)

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων ἀνδρῶν δεξάμενοι πολέμῳ.

[81.] (157.)

Ὦ ξεῖν', εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἅμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς·
ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυσάμεθα.

82. (158.)

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.
[δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἥψαμεν, ἀργαλέης μνήματα ναυμαχίας·
ὀστέα δ' ἅμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.]

[83.] (160.)

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

[84.] (154.)

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀίδεω.

85 (153.)

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

[86.] (159.)

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

87. (165.)

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
αἰθέρα δαιομένας εὐρυχόρου Τεγέας·
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

88. (166.)

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίην.

[89.] (163.)

Οἵδε παρ᾽ Εὐρυμέδοντά ποτ᾽ ἀγλαὸν ὤλεσαν ἥβην
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν,
κάλλιστον δ᾽ ἀρετῆς μνῆμ᾽ ἔλιπον φθίμενοι.

[90.] (164.)

Τῶνδέ ποτ᾽ ἐν στέρνοισι τανυγλώχινας ὀιστοὺς
λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψακάδι·
ἀντὶ δ᾽ ἀκοντοδόκων ἀνδρῶν μναμεῖα θανόντων
ἄψυχ᾽ ἐμψύχων ἅδε κέκευθε κόνις.

91. (167.)

Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἆμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα·
τοὶ μὲν ὑπ᾽ Εὐβοί⟨ας⟩ ἄκ⟨ρῳ⟩ πάγῳ, ἔνθα καλεῖται
ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος·
τοὶ δ᾽ ἐν ὄρει Μυκάλας, τοὶ δ᾽ ἔμπροσθεν Σαλαμῖνος,
⟨ναῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρη,⟩
τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν
χεῖρας ἐπ᾽ ἀνθρώπους ἱππομάχους ἱέναι.
ἀστοὶ δ᾽ ἄμμι τόδ᾽ ⟨ἀνδρείας⟩ γέρας ὀμφαλῷ ἀμφὶ
Νισαίων ἔπορον δαμοδόκων ἀγόρων.

[92.] (Inc. 2.)

Χαίρετ᾽ ἀριστῆες πολέμου μέγα κῦδος ἔχοντες
κοῦροι Ἀθηναίων ἔξοχοι ἱπποσύνῃ,

οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην
πλείστοις Ἑλλάνων ἀντία μαρνάμενοι.

93. (168.)

Τούσδ' ἀπὸ Τυρρηνῶν ἀκροθίνια Φοίβῳ ἄγοντας
ἓν πέλαγος, μία νύξ, εἷς τάφος ἐκτέρισεν.

94. (170.)

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

95. (172.)

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχεναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὴν ἄκοιτιν
Ξανθίππην, Περιάνδρου ἀπέκγονον, ὅς ποθ' ὑψιπύργου
σήμαινε λαοῖς τέρμ' ἔχων Κορίνθου.

96. (173.)

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
οἰκτίρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.

97. (64.)

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελεν Ἴστρον
τῆλε καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
ἄγκεα νειφομένης ἀμφὶ Μεθουριάδος·
νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς, οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

98. (61.)

Φῆ τότε Πρ⟨ωτ⟩όμαχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·

'ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ
οὔτ' ἀρετὴν ποθέων οὔτε σαοφροσύνην.'

99. (63.)

Ὕστατα δὴ τάδ' ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ
δακρυόεσσα, δέρας χερσὶν ἐφαπτομένα·
'αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν, σῷ πολιῷ γήραϊ καδεμόνα.'

100. (62.)

Αἰαῖ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατῇ παρ νεότητι μένειν;
ἣ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠίθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

101. (174.)

Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

102. (176.)

Αἰδὼς καὶ Κλεόδημον ἐπὶ προχοῇσι Θεαίρου
ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον
Θρηικίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννὸν
Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.

103. (177.)

Τῶν αὐτου τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Νικόδικον δὲ φίλοι καὶ πόλις ἧδε (ποθεῖ).

104. (178.)

Χαίρει τις, Θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

105. (180.)

Οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

106. (209.)

Ἀργεῖος Δάνδης σταδιοδρόμος ἐνθάδε κεῖται
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμῷ, πεντεκαίδεκ' ἐν Νεμέᾳ,
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

107. (182.)

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,
οὐ κατὰ τοῦτ' ἐλθών, ἀλλὰ κατ' ἐμπορίαν.

108. (184.)

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ Ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες ὄναιντο βίου.

109. (185.)

Ἡ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἄγρωσσα Λυκάς·
τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον ἅ τ' ἀρίδηλος
Ὄσσα, Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί.

[110.] (169.)

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ', ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς·
ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

[111.] (175.)

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
Κλείσθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου

πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες, οὐδ' ἵκευ Χῖον ἐς ἀμφιρύτην.

[112.] (179.)

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθεν
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν·
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
ἀθάνατον θνητοῖς παισὶ χαριζόμενος.

[113.] (181.)

Σᾶμα τόδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.

[114.] (183.)

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.

[115.] (180.)

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον· ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω· μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.

[116.]

Ἐσβέσθης, γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

[117.] (Inc. 1.)

Οἵδε τριακόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρεᾶν ἀμφὶ μαχεσσάμενοι
αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει· 'Θυρέα, Ζεῦ, Λακεδαιμονίων.'
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦς ἀπ' Ἀδράστου·
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

[118.]

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηίου ἡβήσειας Ἀνακρείοντος ἐπ᾽ ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου·
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν
κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ᾽ ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.

119. (171.)

Οὗτος Ἀνακρείοντα τὸν ἄφθιτον εἵνεκα Μουσῶν
ὑμνοπόλον πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ᾽ Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
μοῦνος δ᾽ εἰν Ἀχέροντι βαρύνεται οὐχ ὅτι λείπων
ἠέλιον Λήθης ἐνθάδ᾽ ἔκυρσε δόμων,
ἀλλ᾽ ὅτι τὸν χαρίεντα μετ᾽ ἠιθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῇκα λέλοιπε πόθον·
μολπῆς δ᾽ οὐ λήγει μελιτερπέος, ἀλλ᾽ (ἐρατεινὸν)
βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀίδῃ.

Ἀναθηματικά.

[120.] (187.)

Ἦ μέγ᾽ Ἀθηναίοισι φόως γένεθ᾽, ἡνίκ᾽ Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

121. (189.)

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ᾽ Ἀθηναίων στήσατο Μιλτιάδης.

[122.] (190.)

Ταῦτ᾽ ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ᾽ ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας.

123. (193.)

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σαλαμῖνα
  Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει·
πέντε δὲ νῆας ἕλεν δηίων, ἕκτην δ' ὑπὸ χειρὸς
  ῥύσατο βαρβαρικῆς Δωρίδ' ἁλισκομένην.

124. (194.)

Αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιατᾶν
  ἑστάθεν εὐχόμεναι Κύπριδι δαιμονίᾳ·
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖα θεάων
  Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

125. (198.)

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
  Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

[126.] (199.)

Τόνδε ποθ' Ἕλλανες, νίκας κράτει ἔργῳ Ἄρηος,
  εὐτόλμῳ ψυχᾶς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
  ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

[127.] (196.)

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
  παῖδας Δεινομένευς, τὸν τρίποδ' ἀνθέμεναι,
[ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
  Δαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν,]
βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν
  σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

[128.] (162.)

Ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν
  καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,

οὐδένι πω κάλλιον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ᾽ ἔστενεν Ἀσὶς ὑπ᾽ αὐτῶν
πληγεῖσ᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.

129. (203.)

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ᾽ ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα·
Ξεινοφίλου δὲ (τόθ᾽) υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ᾽ ἀνδρῶν καλὰ μαθόντι χορῷ·
ἀμφὶ διδασκαλίῃ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

130. (206.)

Γνῶθι Θεόγνητον προσιδὼν τὸν Ὀλυμπιονίκαν
παῖδα, παλαισμοσύνας δεξιὸν ἀνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ᾽ οὐ χείρονα μορφᾶς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

131. (207.)

Στροίβου παῖ, τόδ᾽ ἄγαλμα, Λεώκρατες, εὖτ᾽ ἀνέθηκας
Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
οὐδ᾽ Ἀκαδήμειαν πολυγηθέα, τῆς ἐν ἀγοστῷ
σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

132. (210.)

Πατρὶς μὲν Κόρκυρα, Φίλων δ᾽ ὄνομ᾽, εἰμὶ δὲ Γλαύκου
υἱὸς καὶ νικῶ πὺξ δύ᾽ ὀλυμπιάδας.

133. (211.)

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

134. (212.)

Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δ' ἐνίκης;
'Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, 'Ρόδιος.'

135. (213.)

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅσπερ ἐνίκα
ἐν Δελφοῖς (ποσὶ) Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἑξ(ῆς) ἀμφιφορέας ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερὼ (οἶδεν ἑλόντα
ἀκτὰ Ποντομέδοντος ἆθλα).
καὶ Νεμέᾳ τρὶς ἐνίκασεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,
καὶ (Τεγέᾳ) καὶ ἐν Αἰγίνᾳ κρατερᾷ τ' Ἐπιδαύρῳ
καὶ Θήβᾳ Μεγάρων τε δάμῳ·
ἐν δὲ Φλειοῦντι σταδίῳ τά τε πέντε κρατήσας
ηὔφρανεν μεγάλαν Κόρινθον.

136. (215.)

Ἀρτέμιδος τόδ' ἄγαλμα — διηκόσιαι γὰρ ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα τράγος —
ἀσκητ(ῶς) ἐποίησεν Ἀθηναίης παλάμῃσιν
ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

137. (216.)

Κρὴς Ἄλκων Διδ⟨ύμου⟩ Φοίβῳ στέφος Ἴσθμι' ἑλὼν πύξ.

138. (217.)

Τόνδ' ἀνέθηχ' Ἑρμῆν Δημήτριος, ὄρθια δ' οὐχί
ἐν προθύροις.

139. (218.)

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομένην Ἰλίου ἀκρόπολιν.

140. (221.)

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

[141.] (223.)

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

142. (Inc. 6.)

Εὔχεο (σοῖς) δώροισι, Κύτων, θεὸν ὧδε χαρῆναι
Λητοίδην ἀγορῆς καλλιχόρου πρύτανιν,
ὥσπερ ὑπὸ ξείνων τε καὶ οἳ ναίουσι Κόρινθον
αἶνον ἔχεις χαρίτων, (αἶσι πόλιν) στεφανοῖς.

143. (225.)

Ἦν ἑκατὸν φιάλαι· δίχα ⟨δὲ⟩ σφισιν . . .

[144.] (200.)

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

[145.] (202.)

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα·
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

[146.] (205.) [Antigenis?]

Πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος ἐν χοροῖσιν Ὧραι
ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις

αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις
σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν . . .
οἳ τόνδε τρίποδα σφίσι μάρτυρα Βακχίων ἀέθλων
ἔθηκαν· (εὖ τούσδ') Ἀντιγένης ἐδίδασκεν ἄνδρας·
εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Ἀρίστων
Ἀργεῖος ἡδὺ πνεῦμα χέων καθαρῶς ἐν αὐλοῖς·
τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος,
Στρούθωνος υἱός, ἅρμασιν ἐν Χαρίτων φορηθείς,
αἵ οἱ ἐπ' ἀνθρώπους ὄνομα κλυτὸν ἀγλαάν τε νίκαν
θῆκαν, ἰοστεφάνων θεᾶν ἕκατι Μοισᾶν.

[147.] (208.)

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ὦπις Ἀθήνης,
τέκνον μελαίνης γῆς, χαρίεντας αὐλοὺς
τούσδε σὺν Ἡφαίστῳ τελέσας ἀνέθηκ' Ἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

[148.] (Inc. 5.)

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ', εἰκόνι τῇδε
τίμησ' εὐνοίας εὐσεβίας θ' ἕνεκα.

[149.]

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

[150.] (201.)

Οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι
πυκνὰ κραδαινομένα δαΐῳ ἐν πολέμῳ.

[151.] (214.)

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὅς ποτε Πίσῃ
ἑπτάκι νικήσας ἐς γόνατ' οὐκ ἔπεσεν.

[152.] (219.)

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν,
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

[153.]

Βοίδιον ηὐλητρὶς καὶ Πυθιὰς αἵ ποτ' ἐρασταὶ
σοί, Κύπρι, τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν·
ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν
καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν αἱ πίνακες.

[154.]

Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας
Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα,
ὑετὸν ἄρτι κόμης ἀπομόρξατο· τοῦ δὲ κατ' ἴχνος
βουφάγος εἰς κοίλην ἀτραπὸν ἷκτο λέων·
αὐτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ὃ σχέθε χειρὶ
ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν·
οὐδ' ἔτλη Κυβέλης ἱερὸν βρόμον ὑλονόμος θὴρ
μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος,
δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείῃ
ἔνδυτα καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους.

[155.]

Βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
ὃς πλεῖστον Μούσης εἷλε κλέος τραγικῆς.

[156.]

Τίς ἅδε; 'Βάκχα.' Τίς δέ νιν ξέσε; 'Σκόπας.'
Τίς δ' ἐξέμηνε, Βάκχος ἢ Σκόπας; 'Σκόπας.'

[157.]

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Χάρης ἐποίει πηχέων ὁ Λίνδιος.

[158.]

Τίς εἰκόνα τάνδ' ἀνέθηκεν; 'Δωριεὺς ὁ Θούριος.'
Οὐ Ῥόδιος γένος ἦν; 'Ναί, πρὶν φυγεῖν γε πατρίδα,
δεινᾷ γε χειρὶ πόλλ' ἔρξας ἔργα καὶ βίαια.'

---

159. (66.)

ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα (κατα)ψήχει καὶ τὰ βιαιότατα.

160.

Σῶσος καὶ Σωσώ, σῶτ(ερ, σοὶ) τόνδ' ἀνέθηκαν,
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

161. (186.)

Πολλὰ φαγὼν καὶ πολλὰ πιὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

162. (288.)

Οὐδὲ γὰρ ⟨οὐδ'⟩ εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

163. (230.)

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

164. (231.)

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηιάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

[165.] (229.)

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

[166.] (224.)

Φοῖβον, ὅς ἁγεῖται ⟨τοῖς⟩ Τυνδαρίδησιν ἀοιδῆς,
ἁμέτεροι τέττιγες ἐπεστέψαντο χορωνῷ.

[167.]

χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν ἀμφιδασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

EPIGRAMMATA A SCHNEIDEWINO SIMONIDI ATTRIBUTA

1. (156.)

Τούσδε πο(θεῖ) φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων
μητρόπολις Λοκρῶν εὐθυνόμων Ὀπόεις.

2. (161.)

ἀμφί τε Βυζάντειαν ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν, ἄνδρες ἀρηιθόοι.

3. (188.)

Δεσμῷ ἐν ἀχνυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν
παῖδες Ἀθηναίων, ἔργμασιν ἐν πολέμου
ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἀνέθεν.

4. (192.)

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει

ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

5. (195.)

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

XIV.

TIMOCREON.

1.

Stropha.

– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ ⏒
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏒
–́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏒ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏒

Epodus.

– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑ –́ – –́ ⏑ –́   –́ ⏑ –́ – –́ ⏑ –́ –

στρ.

Ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνεῖς
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω
ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον, ἐπεὶ Θεμιστοκλῆ' ἤχθαρε Λατώ,

ἀντ.

ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα
ἀργυρίοισι κυβαλικοῖσι πεισθεὶς οὐ κατᾶγεν
ἐς πατρίδ' Ἰάλυσον·
λαβὼν δὲ τρί' ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,

ἐπῳδ.

τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων,
ἀργυρίων ὑπόπλεως· Ἰσθμοῖ δ' ἐπανδόκευε γελοίως
ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλέος γενέσθαι.

2.

–́ ⏑ –́ ⏑ –́ ⏑ –́
⏑́⏑ ⏑ –́ – –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑

Μοῦσα, τοῦδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

3.

–́ ⏑⏑ –́ ⏑⏑ –́ –́ –
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́

Οὐκ ἄρα Τιμοκρέων μοῦνος
Μήδοισιν ὁρκιατομεῖ,
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί·
οὐκ ἐγὼ μόνα κόλουρις·
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

4.

⏑⏑ –́ – ⏑⏑ –́

Σικελὸς κομψὸς ἀνὴρ
ποτὶ τὰν ματέρ' ἔφα.

5.

–́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ ⏑́⏑ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ ⏑

Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε, μήτε γῆ μήτ' ἐν θαλάσσῃ
μήτ' ἐν ἠπείρῳ φανῆμεν,
ἀλλὰ Τάρταρόν τε ναίειν κἀχέροντα· διὰ σὲ γὰρ πάντ'
⟨ἔστ'⟩ ἐν ἀνθρώποις κακά.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

6.

ᾧ ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα.

[7.]

Κηία με προσῆλθε φλυαρία οὐκ ἐθέλοντα.
οὐκ ἐθέλοντά με προσῆλθε Κηία φλυαρία.

XV.

CORINNA.

1.

⏑́⏑ ⏑ –́ ⏑ –́ ⏑⏑ –́

καλὰ γεροῖ' ἀεισομένα
Ταναγρίδεσσι λευκοπέπλοις·
μέγα δ' ἐμὰ γέγαθε πόλις
λιγυροκωτίλαις ἐνόπαις.

2.

ΒΟΙΩΤΟΣ.

⏑́⏑ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑ –́ ⏑

τὺ δέ, μάκαρ Κρονίδα, τὺ Ποτειδάωνος, ἄναξ Βοιωτέ

3.

ΚΑΤΑΠΛΟΥΣ.

–́ – –́ ⏑⏑ –́ ⏑ –́
⏑́⏑ ⏑ –́ – –́ ⏑⏑ –́
–́ ⏑ –́ ⏑ –́ ⏑

νίκασ' ὁ μεγαλοσθένης
Ὠαρίων, χώραν τ' ἀφ' ἑῶς
πᾶσαν ὠνύμηνεν.

3a.

– – ⏑ – ⏑⏑ – – –

οὐ γὰρ τὶν ὁ φθονερὸς δαίμων

4.

⏑ –́ – –́ – –́ ⏑⏑ –́
– –́ ⏑ –́ . .

ἰώνει (δ') ἡρώων ἀρετὰς
χἠρωάδων

5.

. . ⏑́⏑ ⏑ –́
– –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́

περὶ τεῶς
Ἑρμᾶς ποτ' Ἄρευα πυκτεύι.

6.

–́ ⏑⏑ –́ ⏑ –́ –

δώρατος ὥστ' ἐφ' ἵππω

7.

–́ ⏑ –́ – –́ ⏑ –́

κά⟨ρ⟩τα μὲν βριμώμενοι

8.

⏑ – – ⏑⏑ – ⏑⏑ –

πόλιν δ' ἔπραθ' ὁ μὲν προφανείς.

9.

⏑⏑ ⏑⏑ ⏑ – –

γλυκὺ δέ τις ἀείδων

10.

⏑⏑ – ⏑⏑ – –

πελέκεσσι δονεῖται.

11.

– ⏑ – ⏑ – ⏑⏑ –
– ⏑ – ⏑ – –

παῖδα ϝὸν θέλωσα φίλαις
ἀγκάλαις ἑλέσθαι

12.

. . – ⏑ – ⏑
– ⏑⏑ – – ⏑⏑ – ⏑
⏑⏑ ⏑ – – ⏑ –
– ⏑ – ⏑⏑ ⏑ –

μέμφομαι δὲ
καὶ λιγυρὰν Μυρτίδ' ἰώνγα,
ὅτι βανὰ φῦσ' ἔβα
Πινδάροιο ποτ' ἔριν.

13.

ἦ διανεκῶς εὕδεις; οὐ μὰν πάρος ἦσθα, Κόριννα, . . .

14.

Θέσπια καλλιγένεθλε, φιλόξενε, μωσοφίλητε

XVI.

LAMPROCLES.

1.

–́ ⏖ –́   –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ –
–́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏓

Παλλάδα περσέπτολιν κλῄζω πολεμαδόκον ἁγνάν,
παῖδα Διὸς μεγάλου (δαμάσιππον).

2.

. . –́ ⏖ –́ –
⏑ –́ ⏑ –́ ⏑ –́ ⏖ –́ ⏖ –́ ⏑

αἵτε ποταναῖς
ὁμώνυμοι πελειάσιν αἰθέρι κεῖσθε.

XVII.

PRATINAS.

1.

⏖ ⏖́ ⏖ ⏖́ ⏖ ⏖́ – ⏖́
⏖ ⏖́ ⏖ ⏖́ ⏖ –́ ⏖ ⏖́ ⏖ ⏖́ ⏖ –́
⏖ ⏖́ ⏖ ⏖́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́
⏖ ⏖́ ⏖ –́ ⏖ –́ ⏖ –́
–́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ – –́ ⏑ – –́ ⏑ –́ ⏑ –́ ⏖ –́ ⏖ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́   –́ ⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ –́ . . .
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
⏖́ ⏑ ⏖́ ⏑ ⏖́ ⏑ ⏖́ –
⏖ ⏖́ ⏖ ⏖́ ⏖ –́ ⏖ –́

⏑ ∸ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸
∸ ⏑ – ∸ ⏑ – ∸ ⏑ –
∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑
∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ∸ ⏑ ∸ ⏑ ∸ –

Τίς ὁ θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπὶ Διονυσιάδα πολυπάταγα θυμέλαν;
ἐμὸς ἐμὸς ὁ Βρόμιος· ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ παταγεῖν
ἀν' ὄρεα σύμενον μετὰ Ναϊάδων
οἶά τε κύκνον ἄγοντα ποικιλόπτερον μέλος.
τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν· ὁ δ' αὐλὸς
ὕστερον χορευέτω· καὶ γάρ ἐσθ' ὑπηρέτας.
κώμῳ μόνον θυραμάχοις τε πυγμαχίαισι νέων θέλει παροίνων
ἔμμεναι στρατηλάτας.
παῖε τὸν φρυναίου
ποικίλου πνοὰν ἔχοντα·
φλέγε τὸν ὀλεσισιαλοκάλαμον,
λαλοβαρυόπα παραμελορυθμοβάταν θ',
ὑπα⟨ὶ⟩ τρυπάνῳ δέμας πεπλασμένον.
ἢν ἰδού· ἅδε σοι δεξιὰ
καὶ ποδὸς διαρριφά, θριαμβοδιθύραμβε·
κισσόχαιτ' ἄναξ, ἄκουε τὰν ἐμὰν Δώριον χορείαν.

2.

⏑ ∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏑ ∸

Λάκων ὁ τέττιξ εὔτυκος ἐς χορόν.

3.

. . ∸ – ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ – ∸ ⏑ ∸ ⏑ ∸ –

οὐ γᾶν αὐλακισμέναν ἀρῶν, ἀλλ' ἄσκαφον ματεύων

4.

–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
⏑ –́ –́ –́ ⏑⏑ –́ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́

μήτε σύντονον δίωκε μήτε τὰν ἀνειμέναν Ἰαστὶ μοῦσαν,
ἀλλὰ τὰν μέσαν νεῶν ἄρουραν αἰόλιζε τῷ μέλει.

πρέπει τοι πᾶσιν ἀοιδὰ λαβράκταις Αἰολὶς ἁρμονία.

XVIII.

DIAGORAS.

1.

Εἰς Ἀριάνθην Ἀργεῖον.

⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –́ ⏑ –́ –
– –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –

Θεός, θεὸς πρὸ παντὸς ἔργου βροτείου
νωμᾷ φρέν' ὑπερτάταν·
αὐτοδαὴς δ' ἀρετὰ βραχὺν οἶμον ἕρπει.

2.

Εἰς Νικόδωρον Μαντινέα.

⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́
⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ –

Κατὰ δαίμονα καὶ τύχαν
τὰ πάντα βροτοῖσιν ἐκτελεῖται.

XIX.

CYDIAS.

–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –

εὐλαβ(εῦ δὲ) μὴ κατέναντα λέοντος
νεβρὸς ἐλθὼν μοῖραν αἱρεῖσθαι κρεῶν.

XX.

HYBRIAS.

–́ ⏑ –́ – –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –
– –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏒
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́
{ –́ – –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ –
{ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑

α΄

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ᾽ ἀμπέλω·
τούτῳ δεσπότας μνοΐας κέκλημαι.

β΄

τοὶ δὲ μὴ τολμῶντ᾽ ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός,
πάντες γόνυ πεπτηῶτες <ἀμφὶ>
<ἁμὸν> κυνέοντι δεσπόταν <ἐμὲ δεσποτᾶν>
καὶ μέγαν βασιλῆα φωνέοντες.

XXI.

PRAXILLA.

ΔΙΘΥΡΑΜΒΟΙ.

1.

ΑΧΙΛΛΕΥΣ.

ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

2.

ΑΔΩΝΙΣ.

'κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο,
δεύτερον ἄστρα φαεινὰ σεληναίης τε πρόσωπον
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄγχνας.'

ΠΑΡΟΙΝΙΑ.

[3.]

Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει·
τῶν δειλῶν δ' ἀπέχευ, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.

[4.]

Ὑπὸ παντὶ λίθῳ σκορπίον, ὦ 'ταῖρε, φυλάσσεο.

[*5.]

– ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ – ⏓

Ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλεποισα,
παρθένε τὰν κεφαλάν, τὰ δ' ἔνερθε νύμφα.

XXII.

BACCHYLIDES.

ΕΠΙΝΙΚΟΙ.

1. (1.)*)

–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ ⏑ –́ – –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑ –́ – –́ ⏑ –́

Ὄλβιος, ᾧτινι θεὸς μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζάλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν·
οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.

2. (3.)

– –́ ⏑ –́ – –́ ⏑ –́ –
– –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́

θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

3. (2.)

–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑ –́ – –́ ⏑ –́ –

ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν κέρδος ἀνθρώ-
πων βιᾶται.

†4. (5.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ ⏑ –́ – –́ ⏑ . .

ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον
εἶδε νικάσαντα.

---

*) Numeri adiecti sunt editionis Neuianae.

†5. (7.)

. . ∸ – ∸ ⏑ ⏑⏑ ⏑ ∸ –

προσφωνεῖτέ νιν ἐπὶ νίκαις.

†6. (8.)

∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ⏑̇
∸ ⏑⏑ – ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸

Νίκα γλυκύδωρος . . .
ἐν πολυχρύσῳ ⟨δ'⟩ Ὀλύμπῳ Ζηνὶ παρισταμένα κρίνει τέλος
ἀθανάτοισί τε καὶ θνατοῖς ἀρετᾶς.

ΥΜΝΟΙ.

7. (10.)

– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸

'αἰαῖ τέκος ἁμέτερον·
μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν, ἀφθέγκτοισιν ἴσον.'

ΠΑΙΑΝΕΣ.

8. (12.)

– ∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑⏑ ⏑̇
∸ ∸ ∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ – ⏑̇
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑ ∸ –
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ∸ –
⏑⏑ ∸ – ∸ ⏑ ∸ –
– ∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ –
∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸
∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
∸ ⏑ ∸ – ∸ ⏑ ∸
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸ –

τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα,
πλοῦτον καὶ μελιγλώσσων ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ᾽ ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν
ξανθᾷ φλογὶ μῆρα τανυτρίχων τε μήλων,
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν·
ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν
ἀραχνᾶν ἱστοὶ πέλονται·
ἔγχεά τε λογχωτὰ ξίφεά τ᾽ ἀμφάκεα δάμναται εὐρώς·
χαλκεᾶν δ᾽ οὐκ ἔστι σαλπίγγων κτύπος·
οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων,
ἁμὸν ὃς θάλπει κέαρ.
συμποσίων δ᾽ ἐρατῶν βρίθοντ᾽ ἀγυιαί, παιδικοί θ᾽
ὕμνοι φλέγονται.

9. (13.)

⏑⏑ ⏑ – ⏑⏑ – ⏑ –   ⏑⏑ ⏑ – ⏑⏑ –
– ⏑ –   – ⏑ – – – ⏑⏑ – ⏑ –
– – –

ἕτερος ἐξ ἑτέρου σοφὸς τό τε πάλαι τό τε νῦν.
οὐδὲ γὰρ ῥᾷστον ἀρρήτων ἐπέων πύλας
ἐξευρεῖν.

ΠΡΟΣΟΔΙΑ.

10. (18.)

– ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑⏑ – ⏑ –
– ⏑ – ⏑⏑ – ⏑ – – ⏑⏑ ⏑ – ⏑⏑ – ⏑ ⏑
– ⏑ –   ⏑⏑ ⏑ – ⏑⏑ – ⏑ ⏑
⏑⏑ ⏑ –   – ⏑ –   – ⏑ – – – ⏑ –
⏑⏑ ⏑ – ⏑ –   ⏑⏑ ⏑ – ⏑⏑ – ⏑ –

Εἷς ὅρος, μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ διατελεῖν δύναται βίον·
(ὃς) δὲ μυρία μὲν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ᾽ ἆμάρ τε καὶ νύκτα μελλόντων χάριν
ἑὸν ἰάπτεται κέαρ, ἄκαρπον ἔχει πόνον.

11. (18.)

. . ⏑̇⏑ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑ –́

τί γὰρ ἐλαφρὸν ἔτ' ἔστ' ἄπρακτ' ὀδυρόμενον δονεῖν καρδίαν;

12. (19.)

– –́ ⏑ –́ –́ ⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ –

Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.

ΥΠΟΡΧΗΜΑΤΑ.

13. (20.)

–́ ⏑ –́ – –́ ⏑ –́ –́ ⏑ –́
–́ ⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ –́ ⏑

Λυδία μὲν γὰρ λίθος μανύει
χρυσόν, ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ' ἐλέγχει ἀλάθεια.

14. (21.)

–́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ ⏑⏑ –́ ⏑ –
–́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – –

Οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς, ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
χρὴ παρ' εὐδαίδαλον ναὸν ἐλθόντας ἁβρόν τι δεῖξαι.

ΕΡΩΤΙΚΑ.

15. (23.)

–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ –́ ⏑ –́ – –́ ⏑ –́ ⏑̄

εὖτε
τὴν ἀπ' ἀγκύλης ἵησι
τοῖσδε τοῖς νεανίαις λευκὸν ἀντείνασα πῆχυν.

†16. (24.)

–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́

ἦ καλὸς Θεόκριτος· οὐ μόνος ἀνθρώπων ὁρᾷς.

†17. (25.)

⏑ –́ ⏑ –́ ⏑ –́ –
⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –

σὺ δ' ἐν χιτῶνι μούνῳ
παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

---

18. (26.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑̄ –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑̄ –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ ⏑̄

γλυκεῖ' ἀνάγκα
σευομένα κυλίκων θάλπησι θυμόν·
Κύπριδος δ' ἐλπὶς διαιθύσσει φρένας

ἀμμιγνυμένα Διονυσίοισι δώροις.
ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας.
αὐτ(ίχ' ὁ) μὲν πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ·

χρυσῷ δ' ἐλέφαντί τε μαρμαίρουσιν οἶκοι,
πυροφόροι δὲ κατ' αἰγλάεντα ⟨καρπὸν⟩
νᾶες ἄγουσιν ἀπ' Αἰγύπτου, μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

19. (27.)

–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏒

Οὐ βοῶν πάρεστι σώματ' οὔτε χρυσὸς οὔτε πορφύρεοι
τάπητες, ἀλλὰ θυμὸς εὐμενὴς
Μοῦσά τε γλυκεῖα καὶ Βοιωτίοισιν ἐν σκύφοισιν οἶνος
ἡδύς.

---

20. (34.)

– ∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ –
– ∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸
∸ ⏑ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸

παύροισι δὲ θνατῶν τὸν ἅπαντα χρόνον (δαίμων
ἔ)δωκεν
πράσσοντας ἐν καιρῷ πολιοκρόταφον
γῆρας ἱκνεῖσθαι, πρὶν ἐγκύρσαι δύᾳ.

21. (6.)

∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸

Ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι

*22. (30.)

– ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ⏑ ∸ ⏑ ∸
– ∸ ⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏑ ∸ – ∸ ⏑ ∸
⏑ ∸ – ∸ ⏖ ∸ ⏖ ∸ ∸ –
∸ ⏖ ∸ ⏖ ∸ – ∸ ⏖ ∸ ⏖ ∸
∸ ⏑ ∸ ∸ ⏑
∸ ⏑ ∸ – ∸ ⏑ ∸ ⏑

'Ὦ Τρῶες ἀρηΐφιλοι, Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρ-
κεται,
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων· ἀλλ' ἐν μέσῳ
κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποισι δίκαν ὁσίαν ἁγνάν,
εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς θέμιδος·
ὀλβίων παῖδες
οἵ νιν εὑρόντες σύνοικον.'

23. (4.)

. . –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–·–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –

φάσωμεν . . .
. . . πιστὸν κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.

24. (22.)

–́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ –

Ὦ Περίκλειτε, (τ)ἄλλ' ἀγνοήσειν μὲν οὔ σ' ἔλπομαι.

25. (32.)

– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ . .

ἔστα δ' ἐπὶ λάινον οὐδόν, τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ' ἔφα·
'αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.'

26. (33.)

–́ ⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑⏑ –́

οἵ μὲν ἀδμᾶτες ἀεικελιᾶν νούσων [εἰσὶ] καὶ ἄνατοι,
οὐδὲν ἀνθρώποις ἴκελοι.

27. (35.)

. . –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́
⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́

οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία.

28. (36.)

. . – –́ ⏑ –́ – –́ ⏑ –́
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑

θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος οὔτ' ἄκαμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν
γαῖαν ἁ πάνδωρος αἶσα.

29. (37.)

–́ ⏑⏑ –́ ⏑ –́ –́ ⏑ –́ ⏑⏑ –́ ⏑

εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος.

30. (38.)

⏑ – –́ ⏑ – –́ ⏑ – ⏑́⏑ ⏑ –́ ⏑ –́

μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου

31. (39.)

–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ – ⏑

τὰν ἀχείμαντόν τε Μέμφιν καὶ δονακώδεα Νεῖλον

32. (40.)

⏑⏑ –́ – ⏑́⏑ ⏑ –́ – ⏑́⏑ ⏑ –́ –́ ⏑⏑ –́

Ἑκάτα δᾳδοφόρε Νυκτὸς μελανοκόλπου θύγατερ

33. (15.)

⏑ – –́ ⏑⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑́⏑ ⏑ –́ ⏑

Ποσειδάνιον ὡς Μαντινέες τριόδοντα
χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες

34. (42.)

τῶν ἁβροβίων Ἰώνων ἄναξ

35. (43.)

– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́

χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν.

36. (60.)

– –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –́ ⏑ –́

ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.

37. (41.)

–́ ⏑ –́ – –́ ⏑ –́

πλήμμυριν πόντου φυγών

38.

–́ ⏑⏑ –́ ⏑⏑ –́

δυσμενέων δ' αἰδής

39. (59.)

. . –́ – –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́

νωμᾶται δ' ἐν ἀτρυγέτῳ χάει.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

[40.] (28.)

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
  πρόφρων (Κραναΐδῶν) ἱμερόεντα χορὸν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν
  Κηίῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

[41.] (29.)

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
  τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοηθόος, ὄφρα τάχιστα
  λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

XXIII.

MELANIPPIDES.

1.

ΔΑΝΑΙΔΕΣ.

– –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ ⏑
–́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ ⏒
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́ –́ ⏑ –́ ⏖ –́
⏖ –́ – –́ ⏖ –́ ⏖ –́
–́ ⏖ –́ ⏖ –́ – ⏖́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ –
⏖́ ⏑ ⏖́ – –́ ⏑ ⏒

οὐ (παρθένων) φόρευν μορφᾶ(εν) εἶδος,
οὐδὲ τὰν αὐτὰν γυναικείαν ἔχον,
ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντ' ἀν' εὐήλι'
ἄλσεα πολλάκι θήραισιν φρένα τερπόμεναι,
⟨πολλάκι δ'⟩ ἱερόδακρυν λίβανον εὐώδεις τε φοίνικας
κασίαν τε ματεῦσαι,
τέρενα Σύρια σπέρματα.

2.

ΜΑΡΣΥΑΣ.

–́ ⏑ –́ ⏓ –́ ⏖ –́ ⏖ –́ ⏓

ἁ μὲν Ἀθάνα
τὤργαν' ἔρριψέν θ' ἱερᾶς ἀπὸ χειρός,
εἶπέ τ'· 'ἔρρετ' αἴσχεα, σώματι λύμα,
(οὔ) με ⟨τᾶ⟩δ' ἐγὼ κακότατι δίδωμι.'

3.

ΠΕΡΣΕΦΟΝΗ.

⏑ – –́ ⏖ –́ –́ ⏑ –́ –
⏑ ⏖́ ⏑ –́ ⏖́ ⏑ –́ ⏖ –́

καλεῖται δ' ἐν⟨ὶ⟩ κόλποισι γαίας
ἄχεα ⟨ῥό⟩οισι προχέων Ἀχέρων.

4.

– –́ ⏑ –́ ⏑ ⏑́⏑ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ – ⏑
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –

πάντες δ' ἀπεστύγεον ὕδωρ,
τὸ πρὶν ἐόντες αἴδριες οἴνου,
τάχα δὴ τάχα τοὶ μὲν οὖν ἀπωλλύοντο,
τοὶ δὲ παράπληκτον χέον ὀμφάν.

5.

⏑ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ ⏑ –́

ἐπώνυμον, δέσποτ', οἶνον Οἰνέος

6.

. . –́ ⏑⏑ –́ ⏑ –́
– –́ ⏑ –́ –́ ⏑ –́ –́ –
– –́ ⏑⏑ –́ . .

κλῦθί μοι, ὦ πάτερ,
θαῦμα βροτῶν, τᾶς ἀειζώου
ψυχᾶς μεδέων.

7.

⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑ –́

γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποσπείρων πραπίδων πόθῳ

XXIV.

ARIPHRON.

⏖ –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ –́
⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –
– –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́
– –́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́
–́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́ – –́ ⏑ ⏑̄
–́ ⏑ –́ – ⏖́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ –
⏖ –́ ⏖ –́ ⏖ –́ ⏑
⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́
⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́

Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι τὸ λειπόμενον
βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης·
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς ἢ πόθων
οὓς κρυφίοις Ἀφροδίτας ἕρκεσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,
τέθαλε πάντα καὶ λάμπει Χαρίτων ὄαροις.
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XXV.

LICYMNIUS.

1.

–́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ ⏖ –́

μυρίαις παγαῖς δακρύων ἀχέων τε βρύει.

2.

. . ⏑⏑ –́
⏑⏑ ⏑ –́ – –́ ⏑ –́ ⏑

᾿Αχέρων
ἄχεα πορθμεύει βροτοῖσιν.

3.

– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑ –́ –́ ⏑ –́ ⏑

Ὕπνος δὲ χαίρων ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις
ὄσσοις ἐκοίμιζε κοῦρον.

4.

. . ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ – –́ ⏑ –́
– –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́

λιπαρόμματε μᾶτερ ὑψίστα, θρόνων
σεμνῶν ᾿Απόλλωνος βασίλεια ποθεινά,
πραΰγέλως ῾Υγίεια·
τίς γὰρ ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς;
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XXVI.

PHILOXENUS.

ΔΕΙΠΝΟΝ

1.

. . ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑⏑ –́ ⏑

κατὰ χειρὸς δ'
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ προχόῳ
φέρων ἐπέχευεν·
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐγνήτων
κλάδων δισύναπτον.

2.

εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμ', ἑτέροι δ' ἑτέραν, ἄλλοι δ' ἑτέραν, μέχρι οὗ πλή-
ρωσαν οἶκον.
ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγὰς
εὐστέφανοι λεκάναις παροψίσι τ', ὀξυβάφων πλήρεις
σύν τε χλιδῶσαι
παντοδαποῖσι τέχνας εὑρήμασι πρὸς βιοτάν, ψυχᾶς δελε-
ασματίοισιν.
πάρφερον ἐν κανέοις μάζας χοινόχροας ἄλλοι.
⟨τοῖς⟩ δ' ἔπι πρῶτα παρῆλθ' οὐ κάκκαβος, ὦ φιλότας,
ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον
πάντ' ἔπαθεν λιπαρόν τ' ἐς ἐγχέλεά τινες ἄριστον,
γογγροιτοιωνητεμων πλῆρες θεοτερπές· ἐπ' αὐτῷ δ'
ἄλλο παρῆλθε τόσον, βάτις δ' ἐνέης ἰσόκυκλος.
μικρὰ δὲ κακκάβι' ἦς, ἔχοντα τὸ μὲν γαλεοῦ τι,
ναρκίον ἄλλο, . . .
. . παρῆς ἕτερον πίων ἀπὸ τευθιάδων καὶ σηπιοπουλυπο-
δείων
⟨τῶν⟩ ἁπαλοπλοκάμων· θερμὸς μετὰ ταῦτα παρῆλθεν
ἰσοτράπεζος ὅλος (νῆστις) συνόδων πυρὸς . . .
. . ἔπειτα βαθμοὺς ἀτμίζων· ἐπὶ τῷ δ' ἐπίπασται
τευθίδες, ὦ φίλε, κἀξανθισμέναι καρῖδες αἱ κυφαὶ παρ-
ῆλθον.
θρυμματίδες δ' ἐπὶ ταύταις εὐπέταλοι χλωραί θ' (ἀδυφά-
ρυγγες) . . .

πύρνων τε στεγαναὶ φυσταὶ μεγάθος κακὰ κακκάβου
γλυκ(όξεες) . . .
ὀμφαλὸς θοίνας καλεῖται παρά γ' ἐμὶν καὶ τίν, σάφ'
οἶδα.
(ὕστατα) ναὶ μὰ θεοὺς ὑπερμέγεθές τι (δέμας) θύννου
μόλεν ὀπτὸν ἐκεῖθεν,
θερμ(οῦ) ὅθ(ι) γλυφ(άνοις) τετμημένον εὐθὺς (ἐβάφθη)·
τοῦ δ' ὑπογαστριδ(ίοις) διανεκέως ἐπαμύν<ειν>
εἴπερ ἐμίν τε μέλοι καὶ τίν, μάλα κεν κεχαροίμεθ'.
ἀλλ' ὅθεν ἐλλίπομεν, θοίνα παρέης, ὅτε παλάξαι δύνατ'
ἐπικρατέως ἔγωγ' ἔτι, κοὔ κε λέγοι τις.
πάντα παρῆς ἐτύμως ἄμμιν· παρέπαισε δὲ θερμὸν
σπλάγχνον, ἔπειτα δὲ νῆστις
δέλφακος οἰκετικᾶς καὶ νῶτος ἐσῆλθε καὶ ὀσφὺς καὶ
μινυρίγματα θερμά·
καὶ κεφάλαιον ὅλον διάπτυχες ἑφθὸν ἀπερπευθηνος (γα-
λακτο)τρόφου πνικτᾶς ἐρίφου παρέθηκεν·
εἶτα δίεφθ' ἀκροκώλια, σχελίδας τε μετ' αὐτῶν
λευκοφορινοχρόους, ῥύγχη, κεφάλαια, πόδας τε, χναυ-
μάτιόν τε σεσιλφιωμένον.
ἑφθά τ' ἔπειτα κρέ' ὀπτά <τ'> ἄλλ' ἐρίφων τε καὶ ἀρνῶν·
ἅ δ' ὑπερ(ωμόκρεως) χορδὰ γλυκίστα
μιξεριφαρνογενής, ἂν δὴ φιλέοντι θεοί· τούτω<ν σὺ
μέν>, ὦ φιλότας, ἔσθοις κε· λαγῷα
δ' ἔπειτ' ἀλεκτρυόνων τε νεοσσοί.
περδίκων φασσέων τε χύδαν ἤδη [δὲ] παρεβάλλετο
θερμὰ πολλά . . .
καὶ μαλακοπτυχέων ἄρτων. ὁμοσύζυγα δὲ ξανθόν τ'
ἐπεισῆλθεν μέλι καὶ γάλα σύμπακτον,
τό κε τυρὸν ἅπας τις
ἦμεν ἔφασχ' ἁπαλόν, κἠγὼν ἐφάμαν. ὅτε δ' ἤδη

βρωτύος ἠδὲ ποτᾶτος ἐς κόρον ἦμεν ἑταῖροι,
τῆνα μὲν ἐξαπάειρον δμῶες, ἔπειτα δὲ παῖδες νίπτρ'
ἔδοσαν κατὰ χειρῶν.
σμήμασιν ἰρινομίκτοις χλιεροθαλπὲς ὕδωρ ἐπεγχέοντες
τόσσον, ὅσον ⟨τις⟩ ἔχρῃζ', ἐκτρίμμα⟨τά⟩ τε . . . λαμπρὰ
σινδονυφῆ, δίδοσαν ⟨δὲ⟩ χρίμα⟨τά⟩ τ' ἀμβροσίοδμα
καὶ στεφάνους ἰοθαλέας.

3.

τὰς δὲ δὴ πρόσθεν μολούσας . . . λιπαραυγεῖς
πορθμίδας πολλῶν ἀγαθῶν πάλιν εἴσφερον γεμούσας.
τὰς ἐφήμεροι καλέοντι νῦν τραπέζας ⟨δευτέρας⟩,
ἀθάνατοι δέ τ' Ἀμαλθείας κέρας. ταῖσιν δὲ μέσσαις
ἐγκαθιδρύθη μέγα χάρμα βροτοῖς, λευκὸς μυελὸς γλυ-
κερός, λεπτοῖς ἀράχνας ἐναλιγκίοισι πέπλοις
συγκαλύπτων ὄψιν αἰσχύνας ὕπο, μὴ κατίδῃ τις
μηλογενὲς πῶυ λιπόντ' ἀνάγκαις
ξηρὸν ἐν ξηραῖς Ἀρισταίου παλιρρύτοισι παγαῖς·
τῷ δ' ὄνομ' ἦς ἄμυλος· χερσὶν δ' ἐπέθεντο στόμιον
μαλεραῖς
. . τὰν δεξαμέναν ὅ τι κα διδῷ τις· ἃ Ζανὸς καλέοντι
τρώγματ'· ἔπειτ' ἐπένειμεν ἐγκατακνακομιγὲς πεφρυγ-
μένον
πυρβρομολευκερεβινθο(ξάνθωμ' ἔκκριτον) ἀδὺ
βρῶμα τὸ παγκατάμικτον· ἀμπυρικηριοδηστίχας παρ-
εγίνετο τούτοις
σταιτινοκογχομαγὴς (χῶ ψαιστ)ελαιοξανθεπιπαγκαπύρω-
τος χοιρίνας.
ἀδέα δὲ . . . κυκλώθ' ὁμόφωκτ' ἀνάριθμα,
καὶ μελίπηκτα τετυγμέν' ἄφθονα σασαμόφωκτα·

τυρακίνας δὲ γαλάκτι καὶ μέλι συγκατάφυρτος ἧς ἄμυλος πλαθανίτας·
σασαμοτυροπαγῆ δὲ καὶ ζεσελαιοπαγῆ πλατύνετο σασαμόπαστα
πέμματα, κᾆτ᾽ ἐρέβινθοι κνακοσυμμιγεῖς ἁπαλαῖς θάλλοντες ὥραις,
ᾠά τ᾽, ἀμυγδαλίδες ⟨τε⟩ τῶν μαλακοφλοΐδων . . . τε τρώχθ᾽ ἅτε παισὶν
ἁδὺ (ἔδειν) κάρυ᾽, ἄλλα θ᾽ ὅσσα πρέπει παρὰ θοίναν
ὀλβιόπλουτον ⟨ἔμεν⟩· πόσις τ᾽ ἐπεραίνετο κότταβοί τε λόγοι τ᾽ ἐπὶ κοινᾶς·
ἔνθα τι καινὸν ἐλέχθη κομψὸν ἀθυρμάτιον, καὶ θαύμασαν αὔτ᾽ ἐπί τ᾽ ᾔνησαν ⟨περισσῶς⟩.

4.

σὺ δὲ τάνδε Βακχία⟨ν⟩
εὔδροσον πλήρη μετανιπτρίδα δέξαι·
πραΰ τί τοι Βρόμιος γάνος τόδε δοὺς ἐπὶ τέρψιν
πάντας ἄγει.

5.

πίνετο νεκτάρεον πῶμ᾽ ἐν χρυσέαις . . . προτομαῖς τε,
ἄλλοι δ᾽ ⟨ἐκ⟩ κεράτων ἐβρέχον⟨το⟩ κατὰ μικρόν.

ΚΥΚΛΩΨ.

6.

– –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ ⏑́⏑ –́ ⏑
⏑́⏑ ⏑ –́ ⏑ ⏑́⏑ ⏑ –́ –

ὦ καλλιπρόσωπε
χρυσοβόστρυχε Γαλάτεια,
χαριτόφωνε, θάλος ἐρώτων.

7.

– –́ ⏑ –́ – ⏑́⏑ ⏑ –́ ⏑ –́ ⏑

οἴῳ μ' ὁ δαίμων τέρατι συγκαθεῖρξεν.

8.

. . ⏑ –́ ⏑ –́ ⏑ –́ –

ἔθυσας; ἀντιθύσῃ.

ΥΜΕΝΑΙΟΣ.

9.

⏑́⏑ ⏑ – –́ ⏑ ⏑⏑

Γάμε θεῶν λαμπρότατε

10.

–́ ⏑ –́ – ⏑́⏑ ⏑ –́ – –́ ⏑ –́ ⏑

Συμβαλοῦμαί τι μέλος ὑμῖν εἰς ἔρωτα.

11.

αὐτοὶ γὰρ διὰ Παρνασσοῦ
χρυσορόφων Νυμφέων εἴσω θαλάμων

12.

– –́ – –́ – –́ – –́

εὐρείτας οἶνος πάμφωνος

[13.]

Τληπόλεμός ⟨μ'⟩ ὁ Μυρεὺς Ἑρμᾶν ἀφετήριον ἕρμα
ἱροδρόμοις θῆκεν παῖς ὁ Πολυκρίτεω,
δὶς δέκ' ἀπὸ σταδίων ἐναγώνιον· ἀλλὰ πονεῖτε
μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.

XXVII.

TIMOTHEUS.

ΑΡΤΕΜΙΣ.

1.

–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑

μαινάδα, θυιάδα, φοιβάδα, λυσσάδα

ΚΥΚΛΩΨ.

2.

–́ – –́ ⏑⏑ –́ ⏑ –́ ⏑
–́ ⏑⏑ –́ ⏑⏑ –́ –

'οὔτοι τόν γ' ὑπεραμπέχοντα
οὐρανὸν εἰσαναβήσει.'

3.

– –́ ⏑ –́ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ –
⏑⏑ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ –

ἔγχευε δ' ἓν μὲν δέπας κίσσινον μελαίνας
σταγόνος ἀμβρότας ἀφρῷ βρυάζον·
εἴκοσιν δὲ μέτρ' ἀνέχευ', ἀνέμισγε δ'
αἷμα Βακχίου νεορρύτοις δακρύοισι Νυμφᾶν.

ΝΙΟΒΗ.

*4.

ἔρχομαι· τί μ' αὔεις;

ΠΕΡΣΑΙ.

5.

–́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑

κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον

6.

⏑ – – –́ ⏑ – ⏕́ ⏑ – ⏕́ ⏑ –

σέβεσθ' αἰδῶ σύνεργον ἀρετᾶς δοριμάχου.

7.

⏑ –́ ⏑ –́ – –́ –́ –́ ⏑ –́ ⏑ – ⏑

῎Αρης τύραννος· χρυσὸν δ' Ἑλλὰς οὐ δέδοικεν.

8.

⏕ ⏕́ ⏕ ⏕́ ⏕ ⏕́ ⏕ –́

τεταμένον ὀρίγανα διὰ μυελοτρεφῆ

9.

⏕ –́ ⏕ –́ ⏕ –́ –

διὰ κυάνεον πόλον ἄστρων
διά τ' ὠκυτόκοιο σελάνας

10.

ὅτ' ἀέξεται ἁλίου αὐγαῖς

11.

⏑ ⏕́ ⏑ –́ ⏑ –́ ⏑ ⏕́ – –́ ⏑ –́ –
–́ –́ –́ ⏕ –́ – –́ ⏑ –́
–́ ⏑ –́ –́ ⏕ –́ ⏑ –́ –

Μακάριος ἦσθα, Τιμόθεε, κᾶρυξ ὅτ' εἶπεν·
'νικᾷ Τιμόθεος [ὁ] Μιλήσιος
τὸν Κάμωνος τὸν ἰωνοκάμπταν.'

12.

⏑ ⏑ –́ ⏕ ⏕ –́ ⏑

Οὐκ ἀείδω τὰ παλαιά,
καὶ τὰ ⟨καινὰ⟩ γὰρ ἅμα κρείσσω·

νέος ὁ Ζεὺς βασιλεύει,
τὸ πάλαι δ' ἦν Κρόνος ἄρχων·
ἀπίτω Μοῦσα παλαιά.

13.

⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́
– –́ – –́ ⏑ –́ ⏑⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́   –́ ⏑ –́
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –

σύ τ' ὦ τὸν ἀεὶ πόλον οὐράνιον
λαμπραῖς ἀκτῖσιν Ἅλιε βάλλων,
πέμψον ἑκαβόλον ἐχθροῖς βέλος
σᾶς ἀπὸ νευρᾶς, ὦ ἰὲ Παιάν.

*14.

⏑⏑ –́ – ⏑⏑ –́ – ⏑⏑ –́ –

σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς.

[15.]

(Ὅδ') ὁ πτερωτὸς ἰξὸς ὀμμάτων Ἔρως,
ὁ Κύπριος κυναγός, ἡ φρενῶν ἄκις,
ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας.

XXVIII.

TELESTES.

1.

ΑΡΓΩ.

–́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ –
⏑ –́   –́ ⏑ –́ ⏑ –́ ⏑ –́   –́ ⏑
–́ ⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́   –́ ⏑ –́ ⏑ –́ ⏑ –́

⏑ ∸ ⏑ ∸   ∸ ⏑ ∸ ⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ –
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑ ∸ ⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑

⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ –
– ⏑́⏑ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑ ∸   ∸ ⏑ ∸ ⏑ ∸ –

ὃν σοφὸν σοφὰν λαβοῦσαν οὐκ ἐπέλπομαι νόῳ δρυμοῖς ὀρείοις
ὀργάν(ων) δίαν Ἀθάναν
δυσόφθαλμον αἶσχος ἐκφοβηθεῖσαν
αὖθις ἐκ χερῶν βαλεῖν,
νυμφαγενεῖ χοροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος.
τί γάρ νιν εὐηράτοιο κάλλεος ὀξὺς ἔρως ἔτειρεν,
ᾇ παρθενίαν ἄγαμον καὶ ἄπαιδ' ἀπένειμε Κλωθώ;
ἀλλὰ μάταν ἀχόρευτος
ἅδε ματαιολόγων φάμα προσέπταθ' Ἑλλάδα μουσοπόλων,
σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος.
. . .
ἂν συνεριθοταταν Βρομίῳ παρέδωκε σεμνᾶς
δαίμονος ἀερθὲν πνεῦμ' αἰολοπτερύγων σὺν ἀγλαᾶν ὠκύτατι χειρῶν.

2.

ΑΣΚΛΗΠΙΟΣ.

∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ –
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ –
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸

ἢ Φρύγα καλλιπνόων αὐλῶν ἱερῶν βασιλῆα,
Λυδὸν ὃς ἅρμοσε πρῶτος

Δωρίδος ἀντίπαλον μούσας νόμον αἰόλον ὀμφᾷ,
πνεύματος εὔπτερον αὔραν ἀμφιπλέκων καλάμοις.

3.

ΥΜΕΝΑΙΟΣ.

– –́ – –́ – –́ – –́
⏑́⏑ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ ⏑́⏑ ⏑
– –́ ⏑ –́ –́ – –́ – –́
–́ ⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ ⏑̄

ἄλλος δ' ἄλλαν κλαγγὰν ἱεὶς
κερατόφωνον ἠρέθιζε μάγαδιν,
ἐν πενταράβδῳ χορδᾶν ἀρθμῷ
χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος.

4.

– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ ⏑́⏑ –
⏑⏑ –́ – ⏑⏑ –́ – ⏑⏑ –́ –
⏑́⏑ ⏑ –́ – –́ ⏑ –́
– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑

Πρῶτοι παρὰ κρατῆρας Ἑλλάνων ἐν αὐλοῖς
συνοπαδοὶ Πέλοπος ματρὸς ὀρείας
Φρύγιον ἄεισαν νόμον·
τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖ<ς> κρέκον
Λύδιον ὕμνον.

XXIX.

LYCOPHRONIDES.

1.

–́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́
– –́ ⏑⏑ –́ –́ ⏑⏑ –́ –́ ⏑⏑ –́ –
⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏑⏑ –́ –́ –

Οὔτε παιδὸς ἄρρενος οὔτε παρθένων
τῶν χρυσοφόρων οὐδὲ γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἐὰν μὴ κόσμιον πεφύκῃ.
ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

2.

⏑ ⏖́ ⏑ –́ ⏑ –́ ⏑ –́
⏑ ⏖́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
–́ – –́ ⏖ –́ –́ ⏖ –́ –́ ⏖ –́ –́ ⏖ –́
⏖ –́ ⏖ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́

τόδ᾽ ἀνατίθημί σοι ῥόδον
καλὸν (ἀνάθημα) καὶ πέδιλα καὶ κυνέαν
καὶ τὰν θηροφόνον λογχίδ᾽, ἐπεί μοι νόος ἄλλᾳ κέχυται
ἐπὶ τὰν Χάρισιν φίλαν παῖδα καὶ καλάν.

XXX.

ERINNA.

ΑΛΑΚΑΤΑ.

1.

Πομπίλε, ναύταισιν πέμπων πλόον εὔπλοον ἰχθύ,
πομπεύσαις πρύμναθεν ἐμὰν ἁδεῖαν ἑταίραν.

2.

παυρολόγοι πολιαί, ταὶ γήραος ἄνθεα θνατοῖς.

3.

τουτόθεν εἰς Ἀίδαν κενεὰ διανήχεται ἀχώ·
σιγᾷ δ᾽ ἐν νεκύεσσι, τὸ δὲ σκότος ὄσσε κατ(αγρεῖ).

ΕΠΙΓΡΑΜΜΑΤΑ.

4.

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα. λῷστε Προμαθεῦ,
ἐντὶ καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
αἰ καὐδὰν ποτέθηκ᾽, ἧς κ᾽ Ἀγαθαρχὶς ὅλα.

5.

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
ὅστις ἔχεις (ἔνδοι) τὰν ὀλίγαν σποδιάν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ᾽ ἠρίον εἴπατε χαίρειν,
αἴτ᾽ ἀστοὶ τελέθωντ᾽, αἴθ᾽ ἑτέρ(ων) πόλιος·
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ᾽ ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤρινν᾽ ἐν τύμβῳ γράμμ᾽ ἐχάραξε τόδε.

6.

Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀίδᾳ·
'βάσκανος ἔσσ᾽, Ἀίδα·' τὰ δέ τοι καλὰ σάμαθ᾽ ὁρῶντι
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ᾽, Ὑμέναιος (ὑφ᾽) αἷς ἀείδετο πεύκαις,
(ταῖσδ᾽) ἐπὶ καδεστὰς ἔφλεγε πυρκαϊ(άν)·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
ἐς θρηνῶν γοερὸν φθέγμα μεθαρμόσαο.

XXXI.

S I R O.

(*Εἰς Διόνυσον.*)

– ∪ –́ –   ∪ ∪ –́ –   ∪ ∪ –́ –
∪ ∪ –́ –   – ∪ –́ –   ∪ ∪ –́ –

ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος
ζαθέοις ἄρχων σε τιμαῖσι γεραίρει.

XXXII.

FRAGMENTA MELICA ADESPOTA.

1.

Μοῖσά μοι — ἀμφὶ Σκάμανδρον ἐύρρων ἄρχομ' ἀείδεν

2.

χειρῶν ἠδὲ ποδῶν ἀκινάγματα

3.

ὀψόμενος Ϝελέναν ἑλικώπιδα

4.

Νέστορα δὲ Ϝῶ παιδός

*5.

αἰνοδρυφὴς δὲ τάλαινα τεοῦ κάτα τυμβοχόησα.

6.

Μενέλας τε κἀγαμέμνων

7.

ἁ δ' ὑποδεξαμένα θαήσατο
χρύσεον αἶψα ποτήριον . . .

8.

μήτ' ἐμῶ αὔτᾱς
μήτε κασιγνήτων πόδας ὠκέας
τρύσῃς.

9.

⏖ ⏑ ∸ – ∸ ⏖ ∸ ⏑ ∸

Ἐνετίδας πώλους στεφανηφόρους

10.

ἀλλ' ἁ πολυνεικὴς
δῖ' Ἑλένα

11.

Ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππω

12.

εἶμ' ὧτ' ἀπ' ὕσσάκω λυθεῖσα.

13.

∸ ⏖ ∸ ∸ ⏑ ∸ –

Ἄρταμι, ῥύτειρα τόξων

14.

– – ⏑ – – – ⏖ – ⏑ – ⏑ – ⏑ ⏓

τοιοῦτος εἰς Θήβας πάις ἁρμάτεσσ' ὀχήμενος

15.

– – ⏑ – – – ⏖ – ⏑ – – – ⏑ ⏓

Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτω λίνον.

16.

ἐγώ φαμι ἰοπλοκάμων Μοισᾶν εὖ λαχεῖν.

17.

ἱστοπόνοι μείρακες

18.

οὐδὲ λεόντων σθένος, οὐδὲ τροφαί

19.

αἳ Κυθερήας ἐπιπνεῖτ' ὄργια λευκωλένου

20.

ὡς πὸς ἔχει μαινομένοισιν.

21.

πάντες φαυροτέροις πόκτοισι φέρον.

22.

τῦδ' ἀν κολῶναν Τυνδαριδᾶν

23.

τριβώλετερ, οὐ γὰρ 'Αρκάδεσσι λώβα

24.

πόθεν δ'
ὡλκὸς εὐπετὲς ἔβλης;

25.

ναρκίσσου τερενώτερον

26.

γέλαν δ' ἀθάνατοι θεοί.

27.

Κάπρος ἡνίχ' ὁ μαινόλης
ὀδόντι σκυλακοκτόνῳ
Κύπριδος θάλος ὤλεσεν

28.

⏖ –́ ⏖ –́ – –́ –

δμόπαιδα κάσιν Κασάνδρας

29.

–́ ⏑ –́ – –́ ⏑ –́ ⏑

εὐσέλανον δῖον οἶκον

30.

Κλῦθί μοι Ζανός τε κούρη

31.

Ζανί τ' ἐλευθερίῳ

32.

– –́ ⏑ –́ – –́ ⏑ –́

βαιῷ δ' ἐν αἰῶνι βροτῶν

33.

. . –́ – –́ ⏑ –́ ⏑
– –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ ⏑ –́
. . ⏖ –́ – –́ ⏑ ⏑̄
–́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́ – –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑
–́ ⏑ –́ – –́ ⏑ –́   –́ ⏖ –́ – –́ ⏑ ⏑̄
–́ ⏖ –́ ⏖ –́ ⏑
– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́   –́ ⏑
– –́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́ ⏑
– –́ ⏑ –́ – –́ ⏖ –́   –́ ⏑ –́ ⏑
– –́ ⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ ⏖ –́ ⏖ –́ – –́ ⏖ –́
–́ ⏖ –́ ⏖ –́   –́ ⏑ –́ –
⏖ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ ⏖ –́ – ⏖ ⏑ –́ – –́ ⏖ –́

ἄνθρωπον δὲ γαῖα
ἄνδωκε πρῶτα καλὸν ἐνεγκαμένα γέρας,

μὴ φυτῶν ἀναισθήτων μηδὲ θηρίων ἀλόγων, ἀλλὰ ἡμέρου ζῴου καὶ θεοφιλοῦς ἐθέλουσα μήτηρ γενέσθαι.
χαλεπὸν δ' ἐξευρέμεν,
εἴτε Βοιωτοῖσιν Ἀλαλκομενεὺς λίμνας ὕπερ Καφισίδος
πρῶτος ἀνθρώπων ἀνέσχεν,
εἴτε ⟨καὶ⟩ Κουρῆτες Ἰδαῖοι ἔσαν, θεῖον γένος,
ἢ Φρύγιοι Κορύβαντες,
οὓς Ἅλιος πρώτους ἐπεῖδεν δενδροφυεῖς ἀναβλαστόντας,
εἴτ' Ἀρκαδία προσεληναῖον Πελασγόν,
ἢ Ῥαρίας οἰκήτορ' Ἐλευσὶς Δίαυλον,
ἢ καλλίπαιδα Λᾶμνος ἀρρήτων ἐτέκνωσε Κάβειρον ὀργίων,
εἴτε Πελλάνα Φλεγραῖον Ἀλκυονῆα Γιγάντων πρεσβύτατον·
πρωτόγονον δέ (τ' Ἰάρ)βαντά φασιν
Λίβυες αὐχμηρῶν πεδίων ἀναδύντα γλυκείας Διὸς ἀπάρξασθαι βαλάνου·
Αἰγυπτίας δὲ Νεῖλος ὕλην ⟨γᾶς⟩ ἐπιλιμπάνων μέχρι σήμερον ζωογονῶν ὑγρᾷ σαρκούμενα θερμότητι ζῷα καὶ σώμα⟨τα⟩ ἀναδίδωσιν.

34.

(*Ἐπίνικος Ἐχεκράτει Ὀρχομενίῳ.*)

. ἔπεα . .
. ε⟨ὐ⟩κλεᾶ θέμις ⟨φέρειν⟩
Ἀπόλλωνι μὲν θεῶν,
ἀτὰρ ἀνδρῶν Ἐχεκράτει
παιδὶ Πυθαγγέλῳ
στεφάνωμα δαιτὶ κλυτ⟨ά⟩
πόλιν ἐς Ὀρχομενῶ διώξ-
ιππον· ἔνθα ποτὲ

. . *Εὐρυ(νό)μα Χάριτας*
⟨θαλ⟩ασσίας ἔτικτεν·
ἐτρέφοντο δὲ παρ θε⟨οῖς⟩,
⟨τοῖ⟩ς ἀγλαὸν μέλος
παρθενηίας ὀπὸς εὐηράτω
⟨ἴεσα⟩ν· τί γὰρ . .

35.

–́ ⏑ ⏖́ ⏑ –́ ⏑ –́
–́ ⏑ ⏖́ – –́ ⏖ –

πᾶν ὅ τι κ' ἐπ' ἀκαιρίμαν
γλῶσσαν ἔπος ἔλθῃ κελαδεῖν.

36.

–́ ⏑ –́ ⏑ –́ ⏑ ⋏ – – ⏑ –́ ⏑ –́ ⏑ –́ –
–́ ⏖ –́ ⏖ –́

οὐ γὰρ ἐν μέσοισι κεῖται δῶρα δυσμάχητα Μοισᾶν
τὠπιτυχόντι φέρειν.

37.

– –́ ⏑ –́ –́ ⏖ –́ ⏖ –́ – –́ ⏑ –́ –
–́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ –́ –

ναὶ τὰν Ὄλυμπον καταδερκομέναν σκαπτοῦχον Ἥραν,
ἔστι μοι πιστὸν ταμιεῖον ἐπὶ γλώσσας.

*38.

–́ ⏑ –́ – ⏖́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́ ⏑

Ἀφροδίτας (ἄλοκα) τέμνων καὶ Χαρίτων ἀνάμεστος

39.

ὦ γλυκεῖ' εἰρήνα,
πλουτοδότειρα βροτοῖς

40.

. . ⏑⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑
–́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ –
–́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑ –́
–́ – –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ – –́ ⏑ –́
–́ – –́ ⏑⏑ –́ –́ ⏑⏑ –́ ⏑

προβάτων γὰρ ἐκ πάντων κελάρυξεν
ὡς ἀπὸ κρανᾶν φέρτατον ὕδωρ
θάλεον γάλα· τοὶ δ᾽ ἐπίμπλων ἐσσύμενοι πίθους·
ἀσκὸς δ᾽ οὐδέ τις ἀμφορεὺς ἐλίνυ᾽ ἐν δόμοις·
πέλλαι δὲ ξύλινοι πλῆσθεν ἅπαντες.

41.

⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –́ ⏑⏑ –́ – –́ ⏑ –́
– –

ὅτε Τυνδαριδᾶν ἀδελφῶν ἅλιον ναύταν πόθος
βάλλει

42.

–́ ⏑⏑ –́ –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏑ –́

νυκτὸς ἀιδνᾶς ἀεργηλοῖό θ᾽ ὕπνου κοίρανος

43.

εὐρύοπα κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων

44.

οὐ ψάμμος ἢ κόνις ἢ πτερὰ ποικιλοθρόων οἰωνῶν
τόσσον ἂν χεύαιτ᾽ ἀριθμόν.

45.

–́ ⏑ –́ ⏑⏑ ⏑ –́ ⏑ –́ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

δίπτυχοι γὰρ ὀδύναι μιν ἤρεικον Ἀχιλλεΐου δόρατος.

46.

⏑ –́ ⏑ –́ ⏑ –́ ⏖ –́ –
–́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑
⏖ –́ ⏑ –́ –́ ⏖ –́ –

ἔπειτα κείσεται βαθυδένδρῳ
ἐν χθονὶ συμποσίων τε καὶ λυρᾶν ἄμοιρος
ἰαχᾶς τε παντερπέος αὐλῶν.

47.

–́ ⏑ –́ –́ ⏖ –́ ⏖ –́
– –́ ⏑ ⏖́ – –́ ⏑ –́ ⏑
⏑ ⏖́ ⏑ –́ ⏑ –́ . .

ὣς ἄρ' εἰπόντα μιν ἀμβρόσιον
τηλαυγὲς ἐλασίππου πρόσωπον
ἀπέλιπεν ἁμέρας.

48.

οὐκ αἰεὶ θαλέθοντι βίῳ
βλάσταις τε τέκνων βριθομένα γλυκερὸν
φάος ὁρῶσα

49.

–́ ⏑ –́ – –́ ⏑ ⏖́ ⏑ –́
–́ ⏖ –́ ⏑ –́ – –́ ⏖ –́ –́ ⏖ –́ –́ ⏑ ⏑̄

τοιάδε θνατοῖσι κακὰ κακῶν
ἀμφί τε Κῆρες εἰλεῦνται, κενεὰ δ' εἴσδυσις οὐδ' αἰθέρι.

50.

. . – –́ ⏑ ⏑̄
– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ . .

ἄλλον τρόπον
ἄλλων ἐγείρει φροντὶς ἀνθρώπων.

51.

⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́
⏑ –́ ⏑ –́ ⏑

πρὸ χείματος ὥστ' ἀνὰ ποντίαν ἄκραν
Βορέα πνέοντος

52.

. . ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́
–́ – –́ ⏑⏑ –́   –́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́ –
⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ –

. . χαροπὰν κύνα· χάλκεον δέ οἱ
γναθμῶν ἐκ πολιᾶν φθεγγομένας ὑπάκουε μὲν Ἴδα
Τένεδός τε περιρρύτα
Θρηίκιοί τε φιλήνεμοι γύαι

53. [Cydidae?]

τηλέπορόν τι βόαμα λύρας

54.

⏑ –́ ⏑⏑ –́ ⏑⏑ –́

ὁ τὸν πίτυος στέφανον

55.

– –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́

Ποικίλλεται μὲν γαῖα πολυστέφανος.

56.

– –́ ⏑⏑ –́ ⏑⏑ –́ – –́ ⏑⏑ –́ ⏑⏑ –́ –́ ⏑ –́

οὐ μήποτε τὰν ἀρετὰν ἀλλάξομαι ἀντ' ἀδίκου κέρδεος.

57.

⏑ –́ ⏑⏑ –́ – –́ ⏑ –́

Πολύμνια παντερπὴς κόρα

58.

_ ⏗ ⏑ ⏑̇ _ ⏗ ⏑ ⏗

οὐκ εἶδον ἀνεμωκέα κόραν.

59.

ΔΕΛΦΙΚΑ.

Θυμελικὰν ἴθι μάκαρ φιλοφρόνως εἰς ἔριν.

60.

Βρόμιε, δορατοφόρ', ἐνυάλιε, πολεμοκέλαδε, πάτερ Ἄρη.

61.

Ἴακχε θρίαμβε, σὺ τῶνδε χοραγέ

62.

Σοί, Φοῖβε, Μούσαις τε σύμβωμον

63.

Κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

64.

λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

65.

Ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου,
πτεροφόρον ⟨ἀνὰ⟩ χερὶ δόνακα τιθεμένα.

66.

Ἴθι μᾶτερ μεγάλα.

67.

Ἑλικοπέταλε, καλλικέλαδε, φιλοχορευτὰ ⟨Βάκχε⟩.

68*.

τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

69.

οἱ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις.

70.

Κρησίοις ἐν ῥυθμοῖς παῖδα μέλψωμεν.

71.

Ἴλιον ἀμφ' Ἑλένῃ πεπυρωμένον ὤλετο.

72.

ὁ Πύθιος μὲν ὀμφαλοῦ θεὸς παρ' ἐσχάραις

73.

Γαλλαὶ μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες,
αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα

74.

κλάδα χρυσεόκαρπον

75.

καὶ τὰν ἀκόρεστον αὐάταν

76.

διὰ σὲ καὶ τεὰ δῶρ' εἴτε σκῦλα

77.

– ⏑⏑ – – ⏑ – ⏑⏑ ⏑ – ⏑⏑ – ⏑⏑ ⏑ –

εὐθὺς ἀνέπλησεν ἀεροβατᾶν μέγαν οἶκον ἀνέμων.

78.

_ ∸ ⏑ ∸ ⏑ ∸ ⏕ ∸ ⏕ ∸ _ ∸ ⏑ ∸ _ ∸ ⏕ ∸ ⏕ ∸
_ ∸ ⏑ ∸ _ ∸ ⏑ ∸ _ ∸ ⏕ ∸ ⏕ ∸ _ ∸ ⏑ ∸ _
∸ ⏑ ∸ _ ∸ ⏕ ∸ ⏕ ∸ _ ∸ ⏑ ∸ _ ∸ ⏑ _
∸ ⏕ ∸ _ ∸ ⏑ ∸ _ ∸ ⏑ ∸ ⏑

Οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ, οὐδ' ἀδάμας
οὐδ' ἀργύρου κλῖναι πρὸς ἄνθρωπον δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις,
οὐδὲ γαίας εὐρυπέδου γόνιμοι βρίθοντες αὐτάρκεις γύαι,
ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

79.

. . ⏑ ∸ ⏕ ∸ ∸ _
_ ∸ ⏕ ∸ ⏕ ∸ _ ∸ ⏑ ∸
∸ _ ∸ ⏕ ∸ ⏕ ∸ ⏑ ∸ _
∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸
_ ∸ ⏕ ∸ ⏕ ∸ ∸ ⏑ ∸
∸ ⏕ ∸ _ ∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸
⏕ ∸ ⏕ ∸ ⏕ ∸ ⏕ ∸ ⏑ ∸
∸ _ ∸ ⏕ ∸ ⏕ ∸ ⏑ ∸ ⏕ ∸ ⏑ ∸ _

. . τύχα, μερόπων ἀρχὰ
καὶ τέρμα· τὺ καὶ σοφίας θακεῖς ἕδρας,
καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις·
καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν, ἅ τε χάρις
λάμπει περὶ σὰν πτέρυγα χρυσέαν·
καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει·
τὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσιν,
καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ, προφερεστάτα θεῶν.

80.

– ⏑ –   – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ –
– ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ ⏑̄
– ⏑⏑ – – – ⏑⏑ – ⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ ⏑̄
– ⏑ – – – ⏑⏑ – – – ⏑ –
. – – –
– ⏑⏑ – ⏑⏑ – ⏑ – ⏑⏑ – ⏑⏑ – ⏑
– ⏑⏑ –   – – – –
– ⏑ –   – ⏑⏑ – ⏑
– ⏑⏑ – ⏑⏑ – ⏑ – ⏑ –   – ⏑ –
– ⏑⏑ – ⏑⏑ – – – ⏑ – ⏑ – ⏑ ⏑⏑ ⏑ – ⏑⏑ – ⏑
– ⏑⏑ – . .

Κλῦτε Μοῖραι, Διὸς αἵτε παρὰ θρόνον ἀγχοτάτω θεῶν
ἑζόμεναι περιώσι' ἄφυκτά τε μήδεα
παντοδαπᾶν βουλᾶν ἀδαμαντίναισιν ὑφαίνετε κερκίσιν,
Αἶσα ⟨καὶ⟩ Κλωθὼ Λάχεσίς τ', εὐώλενοι
κοῦραι Νυκτός,
εὐχομένων ἐπακούσατ', οὐράνιαι χθόνιαί τε
δαίμονες ὦ πανδείμαντοι·
πέμπετ' ἄμμιν ῥοδόκολπον
Εὐνομίαν λιπαροθρόνους τ' ἀδελφάς, Δίκαν
καὶ στεφανηφόρον Εἰρήναν· πόλιν τε τάνδε βαρυφρόνων λελάθοιτε
συντυχιᾶν.

81.

– – – ⏑⏑ – ⏑ –

Μισέω μνάμονα συμπόταν.

82.

. . ⏑ – – – ⏑ – ⏑⏑ – –
– ⏑ – – – ⏑ –   – ⏑ – –

ὁδεύει μοῖρα πρὸς τέλος ἀνδρῶν,
οἵ⟨τε⟩ τὰν πρώταν λελόγχασι τιμάν.

83.

– –́ ⏖ –́ ⏖ –́ –
–́ ⏑ –́ – –́ ⏑ –́ ⏑ –́ –

χὤπερ μόνον ὀφρύσι νεύσῃ,
καρτερὰ τούτῳ κέκλωστ' ἀνάγκα.

84.

– –́ ⏑ –́
–́ ⏑ –́ – –́ ⏑ –

νύσσει γ' ὅμως
σφᾶς ⟨τὰ⟩ θέλγητρ' ἡδονᾶς.

85.

–́ – –́ ⏖ –́ – –́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ –

ὑμνέωμες μάκαρας, Μοῦσαι Διὸς ἔκγονοι, ἀφθίτοις ἀοιδαῖς

86.

–́ ⏑ –́ – – –́ ⏖ – –́ ⏖ – –

Ζεῦς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμῶν

87.

⟨'Αΐδας⟩ . . .,
⟨ὃς⟩ μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος

VERSUS ET CANTILENAE POPULARES.

1.

Πλεῖστον οὖλον οὖλον ἵει, ἴουλον ἵει.

2.

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον ὑ⟨φαινέμ⟩εναι θεόθεν . . .

ἅδε τις ἀλλὰ χρυσοφά(εννα)
κρέμβαλα χαλκοπάραα χερσίν.

3.

Ἀνάβαλ' ἄνω τὸ γῆρας,
ὦ καλὰ Ἀφροδίτα.

4.

Καλεῖτε θεόν.
'Σεμελήι' Ἴακχε πλουτοδότα.'

5.

Ἐλθεῖν, ἥρω Διόνυσε,
Ἀλεῖον ἐς ναὸν
ἁγνὸν σὺν Χαρίτεσσιν,
ἐς ναόν,
τῷ βοέῳ ποδὶ θύων.
ἄξιε ταῦρε,
ἄξιε ταῦρε.

6.

Σπένδωμεν ταῖς Μνάμας παισὶν
Μούσαις καὶ τῷ
Μουσάρχῳ Λατοῦς υἱεῖ.

7.

Ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες

8.

⟨Ἀνάγετε πάντες,⟩ ἀνάγετ', εὐρυχωρίαν
τῷ θεῷ ποιεῖτε·
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυδωμένος
διὰ μέσου βαδίζειν.

9.

Σοί, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καινάν, ἀπαρθένευτον, οὔτι ταῖς πάρος
κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον.

10.

(Ἔπιθι), Κόρη, γέφυραν
ὅσον οὔπω·'τριπόλεον δή.

11.

Ἱερὸν ἔτεκε πότνια κοῦρον
Βριμὼ βριμόν.

12.

Τίς τῇδε; 'Πολλοὶ κἀγαθοί.'
Ἐκκέχυται· κάλει θεόν.

12a.

Θύραζε, Κῆρες· οὐκέτ' Ἀνθεστήρια.

13.

Ἥλιος Ἀπόλλων, ὁ δέ γ' Ἀπόλλων ἥλιος.

14.

Ἀχαΐνην στέατος ἔμπλεων τράγον.

15.

Ἄρχει μὲν ἀγὼν τῶν καλλίστων
ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν.

16.

Βαλβῖδι ποδὸς θέτε πόδα παρὰ πόδα.

17.

Λήγει μὲν ἀγὼν τῶν καλλίστων
ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ
μηκέτι μέλλειν.

18.

Πόρρω γάρ, ὦ παῖδες, πόδα
μετάβατε καὶ κωμάξατε
βέλτιον.

19.

Ἀμὲς πόκ' ἦμες ἄλκιμοι νεανίαι.
Ἁμὲς δέ γ' εἰμές· αἰ δὲ λῇς, αὐγάζεο.
Ἁμὲς δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.

20.

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κῶροι, ποτὶ τὰν Ἄρεος
κίνησιν.

20a.

ἔφυγον κακόν, εὗρον ἄμεινον.

21.

Ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
'Ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.'

22.

Χαλκῆν μυῖαν θηράσω.
'Θηράσεις, ἀλλ' οὐ λήψει.'

23.

Χελιχελώνη, τί ποῖεις ἐν τῷ μέσῳ;
'Μαρύομ' ἔρια καὶ κρόκαν Μιλησίαν.'
Ὁ δ' ἔκγονός σου τί ποῖων ἀπώλετο;
'Λευκᾶν ἀφ' ἵππων εἰς θάλασσαν ἅλατο.'

24.

Ἔξεχ' ὦ φίλ' Ἥλιε.

25.

Ἐξάγω χωλὸν τραγίσκον.

26.

Ἴωμεν εἰς Ἀθήνας.

26 a.

Φίττα, Μαλιάδες, φίττα, Ῥοαί . . .

27.

Μακραὶ δρύες, ὦ Μέναλκα.

28.

Ἐκκορεῖ κόρη κορώνη.

29.

Στρίγγ' ἀποπομπεῖν νυκτιβόαν, στρίγγ' ἀπὸ λαῶν,
ὄρνιν ἀνωνυμίαν ὠκυπόρους ἐπὶ νῆας.

[30.]

Ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ', ἱκετεύω·
πρὶν καὶ μολεῖν κεῖνον, ἀνίστω·
μὴ κακὸν μέγα ποιήσῃ σ⟨ε⟩ κἀμὲ τὰν δειλάκραν·
ἁμέρα καὶ δή· τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ἐσορῇς;

31.

Ἔς τε μέσον πεδίον Στενυκλάριον ἔς τ' ὄρος ἄκρον
εἵπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

32.

Ἐν φανερᾷ γενόμαν, πάτραν δέ μου ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μάτηρ δ' ἔστ' ἀριθμοῖο πάις.

33.

Ἥσσων ἀλγήσας παῖδα τὸν ἐκ Θέτιδος.

34.

Τί πάντες οὐκ ἐπιστάμενοι διδάσκομεν;

35.

Τί ταὐτόν ⟨ἐστιν⟩ οὐδαμοῦ καὶ πανταχοῦ;

36.

Κριθῆς ἀφλοίου χυλὸν ὀργάσας πίε.

37.

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

38.

Τρίπους, χύτρα, λυχνεῖον, ἀκταία, βάθρον,
σπόγγος, λέβης, σκαφεῖον, ὅλμος, λήκυθος,
σπυρίς, μάχαιρα, τρυβλίον, κρατήρ, ῥαφίς.

39.

Ἔτνος, φακῆ, τάριχος, ἰχθύς, γογγυλίς,
σκόροδον, κρέας, θύννειον, ἅλμη, κρόμμυον,
σκόλυμος, ἐλαία, καππαρίς, βολβός, μύκης.

40.

Ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥόα,
ᾠόν, ἐρέβινθος, σησάμη, κοπτή, βότρυς,
ἰσχάς, ἄπιος, πέρσεια, μῆλ᾽, ἀμύγδαλα.

41.

Σῖτον ἐν πηλῷ φύτευε· τὴν δὲ κριθὴν ἐν κόνει.

42.

Λὶψ ἄνεμος ταχὺ μὲν νεφέλας, ταχὺ δ᾽ αἴθρια ποιεῖ,
Ἀργέστῃ δ᾽ ἀνέμῳ πᾶσ᾽ ἕπεται νεφέλη.

43.

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν,
ἀλλ᾽ ἅμα τῷ φυσῆν χὠ νόος ἐκπέταται.

44.

Ἦλθ᾽, ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα
καὶ καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν σὺ προκύκλει
ἐκ πίονος οἴκου
οἴνου τε δέπαστρον
τυρ(ῶν) τε κάνυστρον.

καὶ πύρ(να) χελιδὼν
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες·
ἢ τὰν θύραν φέρωμες ἢ θοὐπέρθυρον
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥαδίως νιν οἴσομες.
ἂν δὴ φέρῃς τι,
μέγα δή τι φέροις.
ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

45.

Δέξαι τὰν ἀγαθὰν τύχαν,
δέξαι τὰν ὑγίειαν,
ἃν φέρομες παρὰ τᾶς θεοῦ,
ἃν ἐκαλέσσατο τήνα.

46.

⏑ ∸ ⏖ ⏑ ∸
– ∸ – ⏖ ∸ – ⏖ ∸
⏖ ∸ – ⏖ ∸ –

Ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει, μεγάλας
Μυτιλάνας βασιλεύων.

47.

Ὦ παῖδες, ⟨ὅσ⟩οι Χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλ(εῖν)·
σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως ἐπὶ Χαλκιδέων θάλλει πόλεσιν.

48.

Αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρούων Ἰαστί.

49.

Τὸν Ἑλλάδος ἀγαθέας
στραταγὸν ἀπ᾽ εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὢ
ἰὴ Παιάν.

50.

ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν.
ἐνταῦθα ⟨γὰρ Δήμητρα καὶ⟩ Δημήτριον
ἅμα παρῆγ᾽ ὁ καιρός.
χἡ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ᾽ ἵνα ποιήσῃ,
ὁ δ᾽ ἱλαρός, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς
καὶ γελῶν πάρεστιν.
σεμνόν τι φαίνεθ᾽, οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ᾽ αὐτός·
ὅμοιον, ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ᾽ ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ
χαῖρε κἀφροδίτης·
ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοί,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσίν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν,
σὲ δὲ παρόνθ᾽ ὁρῶμεν,
οὐ ξύλινον οὐδὲ λίθινον, ἀλλ᾽ ἀληθινόν·
εὐχόμεσθα δή σοι.
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.

τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥσπερ ἡ παλαιά,
τὰ σώμαθ' ἡμῶν πάντ' ἀναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι·
Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν' εὑρέ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ
ἢ σπίλον ποιήσει.

51.

ΕΙΡΕΣΙΩΝΗ.

Δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο
ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει, ὄλβιος αἰεί.
αὐταὶ ἀνακλίνεσθε θύραι· Πλοῦτος γὰρ ἔσεισιν
πολλός, σὺν Πλούτῳ δὲ καὶ Εὐφροσύνη τεθαλυῖα
Εἰρήνη τ' ἀγαθή. ὅσα δ' ἄγγεα, μεστὰ μὲν εἴη,
κυρκαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μᾶζα,
τοῦ παιδὸς δὲ γυνὴ κατὰ δίφρακα βήσεται ὔμμιν,
ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα,
αὐτὴ δ' ἱστὸν ὑφαίνοι ἐπ' ἠλέκτρῳ βεβαυῖα.
νεῦμαί τοι, νεῦμαι ἐνιαύσιος, ὥστε χελιδών·
ἕστηκ' ἐν προθύροις ψιλὴ πόδας· ἀλλὰ φέρ' αἶψα
(πήρης) τὠπόλλωνος (ἀγυρτίδος) ⟨ἀγλαὰ δῶρα⟩.
εἰ μέν τι δώσεις — εἰ δὲ μή, οὐχ ἑστήξομεν·
οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν.

SCOLIA ANONYMA.

ΣΚΟΛΙΑ ΑΤΤΙΚΑ.

1.

–́ –
– ⏑̄ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑̄
⏖ –
–́ ⏑̄ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ –
⏖ –́ ⏑ –́   –́ ⏖ ⏑̇
{ –́ ⏖ –́ ⏑ –́   –́ ⏖ –́ ⏑ ⏑̇
{ –́ ⏖ –́ ⏑ –́ ⏑ –́   –́ ⏖ –́ ⏑ ⏑̇

Παλλὰς Τριτογένει᾽, ἄνασσ᾽ Ἀθάνα,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ.

2.

Πλούτου μητέρ᾽ Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε, παῖ Διὸς Φερσεφόνη·
χαίρετον, εὖ δὲ τάνδ᾽ ἀμφέπετον πόλιν.

3.

Ἐν Δήλῳ ποτ᾽ ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ᾽ Ἀπόλλω,
ἐλαφηβόλον τ᾽ ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ᾽ ἔχει κράτος.

4.

Ὦ Πάν, Ἀρκαδίας μέδων κλεεννᾶς,
ὀρχηστά, Βρομίαις ὀπαδὲ Νύμφαις,
γελάσειας, ὦ Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναισι, ταῖσδ' ἀοιδαῖς κεχαρημένος.

5.

Εἴθ' ἐξῆν, ὁποῖός τις ἦν ἕκαστος,
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

6.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

7.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

8.

Φίλταθ' Ἁρμόδι', οὔτι που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασι ναίειν,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

9.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,

ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

10.

Αἰεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

11.

Οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις

12.

Αἰαῖ, Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

13.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.

14.

⏓ –́ ⏑ –́ – –́ ⏑⏑ –́ ⏑ ⏓
– –́ ⏑ –́ ⏑ –́ ⏑⏑ –́ ⏑ –́
⏑ –́ ⏑ –́ – –́ ⏑ –́ –
–́ ⏑⏑ –́ ⏑⏑ –́ ⏑ –́ –

⟨Ὡραῖον⟩ ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

15.

∪ ∸ ⏖ ∸ ∪ ∸
– ∸ ⏖ ∸ ∪ ∸
∸ – ∸ ⏖ ∸ ∪ ∸ ∸ – ∸ ⏖ ∸ ∪ ∸

Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·
'εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν καὶ μὴ σκολιὰ φρονεῖν.'

16.

∸ –
– ∪ ∸ ⏖ ∸ ∸ ⏖ ∸ ∸ ⏖ ∸ ∪ ⏒
∪ ∪
∸ – ∸ ⏖ ∸ ∸ ⏖ ∸ ∸ ⏖ ∸ ∪ ⏒

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

17.

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ 'ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

18.

Ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ' ἔραμαι λαβεῖν.

19.

Πόρνα καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

20.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

21.

– ⏖ – ⏑ – ⏑ – – ⏖ – ⏑ ⏓
– ⏖ – ⏓ – ⏑ – – ⏖ – ⏖ – ⏑ ⏓

Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

22.

Τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα.

23.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φοροῖεν Διονύσιον ἐς χορόν.

24.

Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

25.

Εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἀραμένη χαρίσῃ στήθεσι χιονέοις.

26.

Ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

27.

– ⏖ – ⏑ – – ⏖ – ⏑ – – ⏖ – ⏑ –

Χρήματα καὶ βίαν Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θετταλῶν.

28.

– – – ⏑ – – ⏑ – – ⏑ – ⏑ –
– ⏑ – ⏑ – ⏖ – ⏑ – –

Οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον, ἀλλ' ἐρᾶν
καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ.

SCOLIA A LOBONE SEPTEM SAPIENTIBUS ATTRIBUTA.

29.

[Thales.]

–́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏑
–́ ⏖ –́ ⏖ ⏒
–́ ⏑ –́ ⏑ –́ –
– –́ ⏑ –́ – –́ ⏑ –́ – –́ ⏖ –́ ⏖ –́

Οὔτι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἱροῦ·
(παύ)σεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

30.

[Solon.]

⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́
– –́ ⏑ –́ ⏖ –́ ⏖ –́
– –́ ⏑ ⏖́ ⏑ –́ ⏑ –́ –
–́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ –́ ⏑ –́ ⏑ –́ –

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ
φαιδρῷ ⟨σε⟩ προσενέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελαίνης φρενὸς γεγωνῇ.

31.

[Chilon.]

–́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑ –́
⏑ –́ ⏖ –́ ⏖ –́ –́ ⏑ –́ –
– –́ ⏖ –́ ⏖ –́ ⏑ –́ ⏑ –́ ⏑ –́ ⏑

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται
διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ
ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

32.

[Pittacus.]

⏑ ∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
– ∸ ⏑ ∸ – ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑

Ἔχοντα χρὴ τόξον ⟨τε⟩ καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόθυμον ἔχουσα καρδίᾳ νόημα.

33.

[Bias.]

– ∸ ⏑⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸
– ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ – ∸ ⏑⏑ ∸
∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ∸ ⏑ ∸ ⏑ ∸ –

Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴ κε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκι δὴ βλαβερὰν ἐξέλαμψεν ἄταν.

34.

[Cleobulus.]

⏑ ∸ ⏑ ∸ ⏑⏑ ∸ ⏑⏑ ∸ ⏑ ∸ –
⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸
⏑ ∸ ⏑ ∸ – ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ ⏑ ∸ –

Ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσιν
λόγων τε πλῆθος· ἀλλ' ὁ καιρὸς ἀρκέσει
φρονεῖ⟨ν⟩ τι κεδνόν· μὴ μάταιος ἁ χάρις γενέσθω.

PSEUDEPIGRAPHA.

CARMEN PHOCYLIDEUM.

ANACREONTEA.

EPIGRAMMATA EX PEPLO ARISTOTELEO EXCERPTA.

ΦΩΚΥΛΙΔΟΥ ΓΝΩΜΑΙ.

Ταῦτα δίκης ὁσίῃσι θεοῦ βουλεύματα φαίνει
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὄλβια δῶρα.
μήτε γαμοκλοπέειν μήτ᾽ ἄρσενα Κύπριν ὀρίνειν
μήτε δόλους ῥάπτειν μήθ᾽ αἵματι χεῖρα μιαίνειν·
μὴ πλουτεῖν ἀδίκως, ἀλλ᾽ ἐξ ὁσίων βιοτεύειν·
ἀρκεῖσθαι παρ᾽ ἑοῖσι καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ᾽ ἐτήτυμα πάντ᾽ ἀγορεύειν.
πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πάντα δίκαια νέμειν μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψῃς πενίην ἀδίκως· μὴ κρῖνε πρόσωπον.
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν· τὰ δίκαια βραβεύειν.
παρθεσίην τηρεῖν, πίστιν δ᾽ ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ᾽ ἐπίμετρον ἁπάντων.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ᾽ ἴσον ἕλκειν.
μηδ᾽ ἐπιορκήσῃς μήτ᾽ ἀγνὼς μήτε ἑκοντί.
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσῃ.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν . . .
μήτ᾽ ἀδικεῖν ἐθέλῃς μήτ᾽ οὖν ἀδικοῦντας ἐάσῃς.
πτωχῷ δ᾽ εὐθὺ δίδου μήδ᾽ αὔριον ἐλθέμεν εἴπῃς.
πληρώσας σέο χεῖρ᾽ ἔλεον χρῄζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου· σῶσον δ᾽ ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος·

πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν σοι ἔδωκε θεός, τούτων χρῄζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα.
[αἷμα δὲ μὴ φαγέειν, εἰδωλοθύτων ἀπέχεσθαι.]
τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
εἴθε δὲ μὴ χρῄζοις μήτ' ἔκνομα μήτε δικαίως.
ἢν γὰρ ἀποκτείνῃς ἐχθρόν, σέο χεῖρα μιαίνεις.
ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ' ὑπερβῇς.
[πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί.
κτῆσις ὀνήσιμός ἐσθ' ὁσίων, ἀδίκων δὲ πονηρά.]
μηδέ τιν' αὐξόμενον καρπὸν λωβήσῃ ἀρούρης.
ἔστωσαν δ' ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις·
πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισιν.
χρυσέ, κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
σεῦ γὰρ ἕκητι μάχαι τε λεηλασίαι τε φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
μηδ' ἕτερον κεύθῃς κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χῶρον ἀμείβου.
πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε.
ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἢν δ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
μὴ γαυροῦ σοφίῃ μήτ' ἀλκῇ μήτ' ἐνὶ πλούτῳ.
εἷς θεός ἐστι σοφὸς δυνατός θ' ἅμα καὶ πολύολβος.
μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦπαρ·
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ἄρην·
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
ἔστω κοινὰ πάθη· μηδὲν μέγα μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκετ' ἔρωτας·
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.

ζῆλος τῶν ἐσθλῶν ἀγαθός, φαύλων δ᾽ αἴδηλος.
τόλμα κακῶν ὀλοή, μέγ᾽ ὀφέλλει δ᾽ ἐσθλὰ πονεῦντα.
σεμνὸς ἔρως ἀρετῆς· ὁ δὲ Κύπριδος αἶσχος ὀφέλλει.
[ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.]
μέτρῳ ἔδειν, μέτρῳ δὲ πιεῖν καὶ μυθολογεύειν.
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ᾽ ἀλεγειναί.
μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς.
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν·
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ᾽ ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
σωφροσύνην ἀσκεῖν, αἰσχρῶν δ᾽ ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, δίκῃ δ᾽ ἀπόλειψον ἄμυναν.
πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ᾽ ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἔτι πλεόνεσσι καθήκει.
καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις,
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω,
μητέρα δ᾽ ἐκπρολίποις, ἵν᾽ ἔχῃς πάλι τῆσδε νεοσσούς.
μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς·
[μηδὲ δίκην δικάσῃς, πρὶν ἄμφω μῦθον ἀκούσῃς.]
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνας δ᾽ ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουή·
οὐ γὰρ δὴ νοέουσ᾽ οἱ μηδέποτ᾽ ἐσθλὰ μαθόντες.
μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους·
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν,
ἀχθόμενοι δ᾽ ὀλίγοις καὶ πολλοῖς, πάντες ἄπληστοι.
λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός ⟨τοι⟩ καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ.
μέτρα δὲ τεῦχε (γό)οισι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσιν.
μὴ τύμβον φθιμένων ἀνορύξῃς, μηδ᾽ ἀθέατα

δείξῃς ἠελίῳ καὶ δαιμόνιον χόλον ὄρσῃς.
οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο·
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισιν.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα γὰρ ἐκ γαίης ἔχομεν, κἄπειτα πρὸς αὐτὴν
λυόμενοι κόνις ἐσμέν· ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
πλούτου μὴ φείδου· μέμνησ' ὅτι θνητὸς ὑπάρχεις·
οὐκ (ἔνι δ' εἰς Ἅιδην ὄλβον) καὶ χρήματ' ἄγεσθαι.
πάντες ἴσον νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅιδης·
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν·
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
[οὐδεὶς γινώσκει, τί μετ' αὔριον ἢ τί μεθ' ὥραν.
ἄσκοπός ἐστι βροτῶν θάνατος, τὸ δὲ μέλλον ἄδηλον.]
μήτε κακοῖς ἄχθου μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
πολλάκις ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστον
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν αἴφνης.
καιρῷ λατρεύειν, μηδ' ἀντιπλέειν ἀνέμοισιν.
μὴ μεγαληγορίῃ φυσῶν φρένα λυσσωθείης·
εὐεπίην ἀσκεῖν, ἥτις μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου·
ὅπλον ἑκάστῳ νεῖμε θεός, φύσιν ἠερόφοιτον
ὄρνισιν, (πώλοις) ταχυτῆτ', ἀλκὴν δὲ λέουσιν·
ταύροις δ' αὖτ' (ἐφύτευσε) κερ(άατα), κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε, λόγον δ' ἔρυμ' ἀνθρώποισιν·
[τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος·]
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ·
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.
οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρ' ἀνέλεγκτον,
ἀλλὰ χρὴ κακοεργὸν ἀποτρωπᾶσθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
φωρῶν μὴ δέξῃ κλοπίμην ἄδικον παραθήκην·
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.
μοίρας παισὶ νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἄριστον.

ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃ.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἔλῃαι.
κτῆνος κὴν ἐχθροῖο πέσῃ καθ' ὁδόν, συνέγειρε·
πλαζόμενον δὲ βροτὸν καὶ ἀλήμονα μήποτ' ἐλέγξῃς·
βέλτερον ἀντ' ἐχθροῦ τυχέειν φίλου εὐμενέοντος.
  ἀρχόμενον τὸ κακὸν κόπτειν ἕλκος τ' ἀκέσασθαι·
ἐξ ὀλίγου σπινθῆρος ἀθέσφατος αἴθεται ὕλη.
  ἐγκρατὲς ἦτορ ἔχειν, τῶν λωβητῶν δ' ἀπέχεσθαι.
φεῦγε κακὴν φήμην, φεῦγ' ἀνθρώπους ἀθεμίστους.
μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσίν· θηρῶν ἄπο θῆρες ἔδονται.
φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχ(ους) ἀταλ(οὺς) μὴ μάρψῃ⟨ς⟩ χειρὶ βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.
  ἐργάζευ μοχθῶν, ὡς ἐξ ἰδίων βιοτεύσῃς·
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
τέχνη τοι τρέφει ἄνδρα· ἀεργὸν δ' ἴψατο λιμός.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδῃς σκυβάλισμα τραπέζης,
ἀλλ' ἀπὸ τῶν ἰδίων βίοτον διάγοις ἀνυβρίστως.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ·
ἔστι βίῳ πᾶν ἔργον, ἐπὴν μοχθεῖν ἐθέλησθα·
ναυτίλος εἶ, πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεηπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
ἔρχονται βιότου κεχρημένοι, ὁππότ' ἄρουραι
λήια κειράμεναι καρπῶν βρίθωσιν ἀλωάς·
οἱ δ' αὖτ' (ἢ) πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν
ἢ κριθῶν, αἰεὶ δὲ φέρων φορέοντα διώκει,
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην συνάγοντες
ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
σμήνεσι μυριότρητα κατ' (ἄγγεα) κηροδομοῦσα.

μὴ μείνῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι·
δός τι φύσει καὐτός· τέκε δ' ἔμπαλιν, ὡς ἐλοχεύθης.
μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων·
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαῦ', (ἅτε) δεύτερα λέκτρα γονῆος·
μητέρα δ' ὣς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδ' ἐπιπαλλακίοισι πατρὸς λεχέεσσι μιγείης.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
μηδὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
μηδὲ τεκοῦσα κυσὶν ῥίψῃ καὶ γυψὶν ἕλωρα.
μηδ' ἐπὶ σῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάλῃαι.
μηδ' αὖ παιδογόνον τέμνειν φύσιν ἄρσενα κούρου.
μηδ' ἀλόγοις ζώοισι βατήριον ἐς λέχος ἐλθεῖν.
μηδ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσσιν.
μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον·
οὐδ' αὐτοῖς θήρεσσι συνευαδον ἄρσενες εὐναί.
μηδέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκαθέκτ(ως)·
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀίδηλον ἁπάντων.
στέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον,
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρις
καὶ πόσις ᾗ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἴκαδ' ἄγεσθαι·
λατρεύσεις ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους εὐγενέας διζήμεθα γειαρότας τε
ταύρους ὑψιτένοντας, ἀτὰρ σκυλάκων πανάριστον·
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις ἔπι, πήματι πῆμα·
μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθῃς.
παισὶν μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος εἴης.
ἢν δέ τι παῖς ἀλίτῃ σε, (κολαζέτω) υἱέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς ἢ δημογέροντες.
μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμηίδα χαίτην·
μὴ κορυφὴν πλέξῃς μήθ' ἅμματα λοξὰ κορύμβων·

ἄρσεσιν οὐκ ἐπέοικε κομᾶν, χλιδα(ναῖς) δὲ γυναιξίν.
  παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην·
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισιν·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆμεν ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
  στέργε φίλους ἄχρις θανάτου· πίστις γὰρ ἀμείνων.
συγγενέσιν φιλότητα νέμοις ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
  γαστρὸς ὀφειλόμενον δασμὸν παρέχειν θεράποντι.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴη.
στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι, κακηγορέων παρ' ἄνακτι.
λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.
  ἁγνείη ψυχῆς, οὐ σώματος, εἰσὶ καθαρμοί.
  ταῦτα δικαιοσύνης μυστήρια· τοῖα βιεῦντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ ΣΥΜΠΟΣΙΑΚΑ ΗΜΙΑΜΒΙΑ.

1. (65.)*)

Ἀνακρέων ἰδών με
ὁ Τήιος μελῳδὸς
ὄναρ λέγων προσεῖπεν·
κἀγὼ δραμὼν πρὸς αὐτὸν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δέ,
καλὸς δὲ καὶ φίλευνος.
τὸ χεῖλος ὦζεν οἴνου,
τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ' ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσιν·
τὸ δ' ὦζ' Ἀνακρέοντος.
ἐγὼ δ' ὁ μωρὸς ἄρας
ἐδησάμην μετώπῳ·
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

2a. (48.)

Τοῦ αὐτοῦ βασιλικόν.

Δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς·
φέρε μοι κύπελλα θεσμῶν,
φέρε μοι νόμους κεράσσω,
μεθύων ὅπως χορεύσω,
ὑπὸ σώφρονος δὲ λύσσης
μετὰ βαρβίτων ἀείδων
τὸ παροίνιον βοήσω.
δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.

2b. (49.)

Ἄγε ζωγράφων ἄριστε,
2 *λυρικῆς ἄκουε μούσης·*
5 *γράφε τὰς πόλεις τὸ πρῶτον*
6 *ἱλαράς τε καὶ γελώσας,*
φιλοπαίγμονας δὲ Βάκχας, 3
ἑτεροπνόους ἐναύλους· 4
ὁ δὲ κηρὸς ἂν δύναιτο, 7
γράφε καὶ νόμους φιλούντων.

---

*) Numeri adiecti sunt editionum antiquiorum.

3. (17.)

Τοῦ αὐτοῦ εἰς ποτήριον ἀργυροῦν.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βάθυνον·
ποίει δέ μοι κατ' αὐτοῦ
μήτ' ἄστρα μήθ' ἅμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι,
τί δ' ἀστέρος Βοώτου;
ποίησον ἀμπέλους μοι
καὶ βότρυας κατ' αὐτῶν
καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

4. (18.)

Ἄλλο εἰς τὸ αὐτὸ ποτήριον τοῦ αὐτοῦ Ἀνακρέοντος.

Καλλιτέχνα τόρευσον
ἔαρος κύπελλον· ἤδη
τὰ πρῶθ' ἡμῖν τὰ τερπνὰ
ῥόδα φέρουσιν Ὧραι·
ἀργύρεον ἁπλώσας
ποίει πότον μοι τερπνόν·
μὴ τελετῶν, παραινῶ,
μὴ ξένον μοι τορεύσῃς,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον ποίει Διὸς γόνον
Βάκχον Εὔιον ἡμῖν·
μύστις νάματος ἡ Κύπρις
ὑμεναί(ους) κροτοῦσα.
χάρασσ' Ἔρωτας ἀνόπλους
καὶ Χάριτας γελώσας
ὑπ' ἄμπελον εὐπέταλον
εὐβότρυον κομῶσαν·
σύναπτε κούρους εὐπρεπεῖς·
(ἄλλῃ) Φοῖβος ἀθύρ(οι).

5. (59.)

Τοῦ αὐτοῦ εἰς Ἔρωτα.

Στέφος πλέκων ποθ' εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ' εἰς τὸν οἶνον·
λαβὼν δ' ἔπινον αὐτόν,
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

3, 16 sqq. cod. Paris.:

*ληνοβάτας πατοῦντας,
τοὺς Σατύρους γελῶντας
καὶ χρυσοῦς τοὺς Ἔρωτας
καὶ Κυθήρην γελῶσαν,
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.*

6. (11.)

Ἄλλο εἰς ἑαυτόν.

Λέγουσιν αἱ γυναῖκες·
'Ἀνάκρεον, γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.'
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσίν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

7. (15.)

Εἰς τὸ ἀφθόνως ζῆν.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' εἷλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;
[ὡς οὖν ἔτ' εὔδι' ἔστιν,
καὶ πῖνε καὶ κύβευε
καὶ σπένδε τῷ Λυαίῳ.
μὴ νοῦσος, ἤν τις ἔλθῃ,
λέγῃ· 'σὲ μὴ δεῖ πίνειν.']

8. (31.)

Εἰς ἑαυτὸν μεμεθυσμένον.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμαίων τε
χὠ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ' ἐρυθρὸν οἶνον
θέλω θέλω μανῆναι.
ἐμαίνεθ' Ἡρακλῆς πρὶν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν.
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω θέλω μανῆναι.

9. (12.)

Τοῦ αὐτοῦ εἰς χελιδόνα.

Τί σοι θέλεις ποιήσω,
τί σοι, λάλη χελιδών;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;

ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίαισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

10. (77.)

Τοῦ αὐτοῦ εἰς Ἔρωτα κήρινον.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστὰς
'πόσου θέλεις' ἔφην 'σοὶ
τὸ τυχθὲν ἐκπρίωμαι;'
ὁ δ' εἶπε δωριάζων·
'λάβ' αὐτὸν ὁππόσου λῇς,
ὅπως ἂν ἐκμάθῃς νιν·
οὐκ εἰμὶ κηροτέχνης·
ἀλλ' οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτᾳ.'
'δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
πύρωσον· εἰ δὲ μή, σὺ
κατὰ φλογὸς τακήσῃ.'

11. (13.)

Εἰς Ἄττιν τοῦ αὐτοῦ.

Οἱ μὲν καλὴν Κυβήβην
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντα
λέγουσιν ἐκμανῆναι.
οἱ δὲ Κλάρου παρ' ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντες ὕδωρ
μεμηνότες βοῶσιν.
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθεὶς
καὶ τῆς ἐμῆς ἑταίρης
θέλω θέλω μανῆναι.

12. (14.)

Τοῦ αὐτοῦ εἰς Ἔρωτα.

Θέλω θέλω φιλῆσαι.
ἔπειθ' Ἔρως φιλεῖν με·
ἐγὼ δ' ἔχων νόημα
ἄβουλον οὐκ ἐπείσθην.
ὁ δ' εὐθὺ τόξον ἄρας
καὶ χρυσέην φαρέτρην
μάχῃ με προὐκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεύς,
καὶ δοῦρα καὶ βοείην
ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον·
ὡς δ' οὐκ ἔτ' εἶχ' ὀιστούς,
ἤσχαλλεν· εἶθ' ἑαυτὸν
ἀφῆκεν εἰς βέλεμνον·
μέσος δὲ καρδίης μευ
ἔδυνε καί μ' ἔλυσεν·
μάτην δ' ἔχω βοείην·
τί γὰρ βάλωμεν ἔξω,
μάχης ἔσω μ' ἐχούσης;

13. (32.)

Ἄλλο τοῦ αὐτοῦ εἰς ἔρωτας.

Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν ἐρώτων
μόνον ποῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
ἔρωτας εἴκοσιν θές,
καὶ πεντεκαίδεκ' ἄλλους.
ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι
καὶ μέχρι τῶν Ἰώνων
καὶ Καρίης Ῥόδου τε
δισχιλίους ἔρωτας.
τί φῄς; (ἐκηριώθης;)
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου,
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμῶ
καὶ τοὺς Γαδείρων ἐκτός,
τῶν Βακτρίων τε κἰνδῶν
ψυχῆς ἐμῆς ἔρωτας;

14. (9.)

Τοῦ αὐτοῦ εἰς περιστεράν.

Ἐρασμίη πέλεια,
πόθεν πόθεν πέτασσαι;
πόθεν μύρων τοσούτων
ἐπ' ἠέρος θέουσα
πνέεις τε καὶ ψεκάζεις;
τίς ἐστί σοι μελ(ηδών);
‛Ἀνακρέων μ' ἔπεμψεν
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
πέπρακέ μ' ἡ Κυθήρη
λαβοῦσα μικρὸν ὕμνον·
ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα.
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω.
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
ἐγὼ δέ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ·
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγρούς,
καὶ δένδρεσιν καθίζειν
φαγοῦσαν ἄγριόν τι;
τὰ νῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δέ μοι δίδωσιν
τὸν οἶνον, ὃν προπίνει·
πιοῦσα δ' (αὖ) χορεύ(ω),
καὶ δεσπότην ⟨κρέκοντα⟩
πτεροῖσι συσκιά(ζω).

κοιμωμένη δ᾽ ἐπ᾽ αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ᾽· ἄπελθε·
λαλιστέραν μ᾽ ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.᾽

15. (28.)

Τοῦ αὐτοῦ εἰς κόρην.

Ἄγε ζωγράφων ἄριστε,
γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,
γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἁπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ᾽ ἐξ ὅλης παρειῆς
ὑπὸ πορφυραῖσι χαίταις
ἐλεφάντινον μέτωπον.
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε μήτε μίσγε·
ἐχέτω δ᾽, ὅπως ἐκείνη,
τὸ λεληθότως σύνοφρ(υ),
βλεφάρων ἴτυν κελαινήν.
τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκόν, ὡς Ἀθήνης,
ἅμα δ᾽ ὑγρόν, ὡς Κυθήρης.
γράφε ῥῖνα καὶ παρειάς,
ῥόδα τῷ γάλακτι μίξας.
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλούμενον φίλημα.
τρυφεροῦ δ᾽ ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτὴν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν
ὀλίγον, τὸ σῶμ᾽ ἐλέγχον.
ἀπέχει· βλέπω γὰρ αὐτήν.
τάχα, κηρέ, καὶ λαλήσεις.

16. (29.)

Εἰς νεώτερον Βάθυλλον.

Γράφε μοι Βάθυλλον οὕτω
τὸν ἑταῖρον, ὡς διδάσκω.
λιπαρὰς κόμας ποίησον,
τὰ μὲν ἔνδοθεν μελαίνας,
τὰ δ᾽ ἐς ἄκρον ἡλιώσας·
ἕλικας δ᾽ ἐλευθέρους μοι
πλοκάμων ἄτακτα συνθεὶς
ἄφες, ὡς θέλωσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρὺς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ᾽ ἀπ᾽ ἐλπίδος κρεμᾶται·
ῥοδινὴν δ᾽ ὁποῖα μῆλον
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ᾽ ὡς ἂν Αἰδοῦς —

δύνασαι (γάρ — ἐμ)ποίησον.
τὸ δὲ χεῖλος οὐκέτ' οἶδα
τίνι μοι τρόπῳ ποιήσεις·
ἁπαλὸν γέμον τε Πειθοῦς.
τὸ δὲ πᾶν ὁ κηρὸς αὐτὸς
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθὼν
ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
ἁπαλῶν δ' ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτε μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τὰ δ' ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς·
τὸν Ἀπόλλωνα δὲ τοῦτον
καθελὼν ποίει Βάθυλλον.
ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
γράφε Φοῖβον ἐκ Βαθύλλου.

17. 18. (21. 22.)

Ἄλλο τοῦ αὐτοῦ ἐρωτικὸν ᾠδάριον.

Δότε μοι, δότ', ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
ὑπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ' ἀνθέων ἐκείνου
στεφάνους,(δόθ',ὡς)πυκάζω·
τὰ μέτωπά μου 'πικαίει·
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω;
παρὰ τὴν σκιὴν Βαθύλλου
καθίσω· καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτὸν ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς·
τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

19. (30.)

Ἄλλο εἰς ἔρωτα τοῦ αὐτοῦ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισιν
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ λύτρα φέρουσα
λύσασθαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μένει δέ·
δουλεύειν δεδίδακται.

20. (66.)

Ἄλλο.

Ἡδυμελὴς Ἀνακρέων,
ἡδυμελὴς δὲ Σαπφώ·
Πινδαρικὸν (δέ) μοι μέλος
συγκεράσας τις ἐγχέοι.

τὰ τρία ταῦτά μοι δοκεῖ
καὶ Διόνυσος ἐλθὼν
καὶ Παφίη λιπαρόχροος
καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.

21. (19.)

Ἄλλο.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὐτήν.
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ', ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

22. (20.)

Ἄλλο εἰς κόρην.

Ἡ Ταντάλου ποτ' ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.
ἐγὼ δ' ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω·
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ' ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ,
καὶ σάνδαλον γενοίμην·
μόνον ποσὶν πάτει με.

23. (1.)

Εἰς κιθάραν τοῦ αὐτοῦ.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἁ βάρβιτος δὲ χορδαῖς
ἔρωτα μοῦνον ἠχεῖ.
ἤμειψα νεῦρα πρώην
καὶ τὴν λύρην ἅπασαν·
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γὰρ
μόνους ἔρωτας ᾄδει.

24. (2.)

Ἄλλο ἐρωτικόν.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,

τοῖς ἀνδράσιν φρόνημα.
γυναιξὶν οὐκ ἔτ' εἶχεν.
τί οὖν; δίδωσι κάλλος
ἀντ' ἀσπίδων ἁπασᾶν,
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

25. (33.)

Τοῦ αὐτοῦ εἰς χελιδόνα.

Σὺ μέν, φίλη χελιδών,
ἐτησίη μολοῦσα
θέρει πλέκεις καλιήν·
χειμῶνι δ' εἶς ἄφαντος
ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ᾠόν ἐστιν ἀκμήν,
ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίνετ' αἰεὶ
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
οἱ μείζονες τρέφουσιν.
οἱ δὲ τραφέντες εὐθὺς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκβοῆσαι.

26a. (16.)

Ἄλλο ἐρωτικὸν ᾠδάριον.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀυτάς·
ἐγὼ δ' ἐμὰς ἁλώσεις.
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζός, οὐχὶ νῆες·
στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων με βάλλων.

26b. (55.)

Ἐν ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ' ἔχουσιν·
καὶ Παρθίους τις ἄνδρας
ἐγνώρισεν τιάραις.
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ' εὐθύς·
ἔχουσι γάρ τι λεπτὸν
ψυχῆς ἔσω χάραγμα.

27a. (41.)

Ἄλλο τοῦ αὐτοῦ εἰς βέλος.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐπόει λαβὼν σίδηρον.
ἀκίδας δ' ἔβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·

ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς
στιβαρὸν δόρυ κραδαίνων
βέλος ἠυτέλιζ' Ἔρωτος·
ὁ δ' Ἔρως 'τόδ' ἐστίν' εἶπεν
'βαρύ· πειράσας νοήσεις.'
ἔλαβεν βέλεμνον Ἄρης·
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας
'βαρύ' φησίν· 'ἆρον αὐτό.'
ὁ δ' Ἔρως 'ἔχ' αὐτό' φησίν.

27 b. (46.)

*Χαλεπὸν τὸ μὴ φιλῆσαι,
χαλεπὸν δὲ καὶ φιλῆσαι,
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.*

27 c. (46.)

*Γένος οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτὸς
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῦτον οὐκ ἀδελφός,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.*

28. (44.)

Τοῦ αὐτοῦ ὄναρ.

*Ἐδόκουν ὄναρ τροχάζειν
πτέρυγας φέρων ἐπ' ὤμων·
ὁ δ' Ἔρως ἔχων μόλιβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανεν.
τί δ' ὄναρ θέλει τόδ' εἶναι;
δοκέω δ' ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθάνειν μὲν ἄλλους,
ἑνὶ τῷδε συνδεθῆναι.*

29. (7.)

Ἄλλο ἐρωτικόν.

*Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν.
διὰ δ' ὀξέων μ' ἀναύρων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς·
κραδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπεσβην.
ὁ δ' Ἔρως μέτωπα σείων
ἁπαλοῖς πτεροῖσιν εἶπεν·
'σὺ γὰρ οὐ δύνῃ φιλῆσαι;'*

30. (4.)

Ἄλλο ἐρωτικὸν τοῦ αὐτοῦ ᾠδάριον.

Ἐπὶ μυρσίναις τερείναις
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν·
ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρίν, Ἔρως, ἐκεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

31. (3.)

Ἄλλο.

Μεσονυκτίοις ποθ' ὥραις,
στρέφετ' (ἦμος) Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
'τίς' ἔφην 'θύρας ἀράσσει;
κατά μευ σχίζεις ὀνείρους.'
ὁ δ' Ἔρως 'ἄνοιγε' φησίν·
'βρέφος εἰμί, μὴ φόβησαι·
βρέχομαι δὲ κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.'
ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην.
παρὰ δ' ἱστίην καθῖσ(α),
παλάμαις τε χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ', ἐπεὶ κρύος μεθῆκεν,
'φέρε' φησί 'πειράσωμεν
τόδε τόξον, εἴ τι μοι νῦν
βλάβεται βραχεῖσα νευρή.'
τανύει δὲ καί με τύπτει
μέσον ἧπαρ, ὥσπερ οἶστρος·
ἀνὰ δ' ἅλλεται καχάζων,
'ξένε' δ' εἶπε 'συγχάρηθι·
κέρας ἀβλαβὲς μὲν ἡμῖν,
σὺ δὲ καρδίαν πονήσεις.'

32. (43.)

Ἄλλο εἰς τέττιγα ᾠδάριον.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκὼς
βασιλεὺς ὅπως ἀείδεις·

σὰ γάρ ἐστι κεῖνα πάντα,
ὁπόσα βλέπεις ἐν ἀγροῖς,
ὁπόσα (τρέφ)ουσιν ὗλαι.
σὺ δ' (ὁμ)ιλία γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσιν,
θέρεος γλυκὺς προφήτης·
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρὴν δ' ἔδωκεν οἴμην.
τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφέ, γηγενής, φίλυμνε·
ἀπαθὴς δ', ἀναιμόσαρκε,
σχεδὸν εἶ θεοῖς ὅμοιος.

33. (40.)

Ἄλλο εἰς Ἔρωτα.

Ἔρως ποτ' ἐν ῥόδοισιν
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη·
τὸν δάκτυλον παταχθεὶς
τᾶς χειρ(ὸς) ὠλόλυξε·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην
'ὄλωλα, μᾶτερ,' εἶπεν,
'ὄλωλα κἀποθνήσκω·
ὄφις μ' ἔτυψε μικρὸς
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί.'
ἁ δ' εἶπεν· 'εἰ τὸ κέντρον
πονεῖ τὸ τᾶς μελίττας,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;'

34. (23.)

Εἰς φιλάργυρον.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
τὸ ζῆν παρεῖχε θνητοῖς,
ἐκαρτέρουν φυλάττων,
ἵν', ἂν θανεῖν ἐπέλθῃ,
λάβῃ τι καὶ παρέλθῃ·
εἰ δ' οὖν μὴ τὸ πρίασθαι
τὸ ζῆν ἔνεστι θνητοῖς,
τί χρυσὸς ὠφελεῖ με;
θανεῖν γὰρ εἰ πέπρωται,
τί καὶ μάτην στενάζω;
τί καὶ γόους προπέμπω;
ἐμοὶ γένοιτο πίνειν,
πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι,
ἐν δ' ἁπαλαῖσι κοίταις
τελεῖν τὰν Ἀφροδίταν.

35. (8.)

Τοῦ αὐτοῦ ὄναρ.

Διὰ νυκτὸς ἐγκαθεύδων
ἁλιπορφύροις τάπησιν,
γεγανωμένος Λυαίῳ
ἐδόκουν ἄκροισι ταρσῶν
δρόμον ὠκὺν ἐκτανύειν
μετὰ παρθένων ἀθύρων.
ἐπεκερτόμουν δὲ παῖδες
ἁπαλώτεροι Λυαίου,

δακέθυμά μοι λέγοντες
διὰ τὰς καλὰς ἐκείνας.
ἐθέλοντα δ' ⟨ἐκ⟩φιλῆσαι
φύγον ἐξ ὕπνου με πάντες·
μεμονωμένος δ' ὁ τλήμων
πάλιν ἤθελον καθεύδειν.

36. (41.)

Ἄλλο τοῦ αὐτοῦ εἰς συμπόσιον.

Ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον,
τὸν ἐφευρετὰν χορείας,
τὸν ὅλας ποθοῦντα μολπάς,
τὸν ὁμότροπον Ἐρώτων,
τὸν ἐρώμενον Κυθήρης·
δι' ὃν ἡ μέθη λοχεύθη,
δι' ὃν ἡ χάρις ἐτέχθη,
δι' ὃν ἀμπαύεται λύπα,
δι' ὃν εὐνάζετ' ἀνία.
τὸ μὲν οὖν πῶμα κερασθὲν
ἁπαλοὶ φέρουσι παῖδες·
τὸ δ' ἄχος πέφευγε μιχθὲν
ἀνεμοτρόφῳ θυέλλῃ.
τὸ μὲν οὖν πῶμα λάβωμεν,
τὰς δὲ φροντίδας μεθῶμεν·
τί γάρ ἐστί σοι ⟨τὸ⟩ κέρδος
ὀδυνωμένῳ μερίμναις;
πόθεν οἴδαμεν τὸ μέλλον;
ὁ βίος βροτοῖς ἄδηλος·
μεθύων θέλω χορεύειν,
μεμυρισμένος δὲ παίζειν ...
μετὰ καὶ καλῶν γυναικῶν·
μελέτω δὲ τοῖς θέλουσιν
ὅσον ἐστὶν ἐν μερίμναις.
ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον.

37. (47.)

Ἄλλο εἰς ἑαυτὸν ἢ εἰς ἑταῖρον πρεσβύτην.

Φιλῶ γέροντα τερπνόν,
φιλῶ νέον χορευτάν·
ἂν δ' ὁ γέρων χορεύῃ,
τρίχας γέρων μέν ἐστιν,
τὰς δὲ φρένας νεάζει.

38. (24.)

Ἄλλο εἰς ἑαυτόν.

Ἐπειδὴ βροτὸς ἐτύχθην
βιότου τρίβον ὁδεύειν,
χρόνον ἔγνων, ὃν παρῆλθον·
ὃν δ' ἔχω δραμεῖν, οὐκ οἶδα.
μέθετέ με φροντίδες·
μηδέν μοι καὶ ὑμῖν ἔστω.
πρὶν ἐμὲ φθάσῃ τὸ τέλος,
παίξω, γελάσω, χορεύσω
μετὰ τοῦ καλοῦ Λυαίου.

39. (Fr. 3.)

Τοῦ αὐτοῦ εἰς τὸ ἔαρ ἤτοι καλοκαίριον.

Τί καλόν ἐστι βαδίζειν,
ὅπου λειμῶνες κομῶσιν,
ὅπου λεπτὴν ἡδυτάτην
ἀναπνεῖ Ζέφυρος αὔρην,
κλῆμα τὸ Βάκχειον ἰδεῖν,
χὐπὸ τὰ πέταλα δῦναι,
ἁπαλὴν παῖδα κατέχων,
Κύπριν ὅλην πνέουσαν.

40. (42.)

Τοῦ αὐτοῦ ἐρωτικὸν ᾠδάριον.

Ποθέω μὲν Διονύσου
φιλοπαίγμονος χορείας·
φιλέω δ', ὅταν ἐφήβου
μετὰ συμπότου λυρίζω·
στεφανίσκους δ' ὑακίνθων
κροτάφοισιν ἀμφιπλέξας
μετὰ παρθένων ἀθύρειν
φιλέω μάλιστα πάντων.
φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
φθόνον οὐκ οἶδα δαϊκτόν.
φιλολοιδόροιο γλώττης
(ἔφυγον) βέλεμνα κοῦφα·
στυγέω μάχας παροίνους.
πολυκώμους κατὰ δαῖτας
νεοθηλέσσ' ἅμα κούραις
ὑπὸ βαρβίτῳ χορεύων
βίον ἥσυχον φερ(οίμην).

41. (6.)

Ἄλλο ἐρωτικὸν ᾠδάριον.

Στεφάνους μὲν κροτάφοισιν
ῥοδίνους συναρμόσαντες
μεθύωμεν ἁβρὰ γελῶντες.
ὑπὸ βαρβίτῳ δὲ κούρα
κατακίσσοισι βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.
ἁβροχαίτας δ' ἅμα κοῦρος
στομάτων ἁδὺ πνεόντων 9
προχέων λίγειαν ὀμφὴν 11
κατὰ πηκτίδων ἀθύρ(ει). 10
ὁ δ' Ἔρως ὁ χρυσοχαίτας 12
μετὰ τοῦ καλοῦ Λυαίου
καὶ τῆς καλῆς Κυθήρης
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

42. (5.)

Ἄλλο ὁμοίως ᾠδάριον εἰς τὸ ῥόδον.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μίξωμεν Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον
κροτάφοισιν ἁρμόσαντες
πίνωμεν ἁβρὰ γελῶντες.
ῥόδον, ὦ φέριστον ἄνθος,

ῥόδον εἴαρος μέλημα,
[ῥόδα καὶ θεοῖσι τερπνά·]
ῥόδον, ᾧ παῖς ὁ Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων,
στέψον [οὖν] με, καὶ λυρίζ(ων)
παρὰ σοῖς, Διόνυσε, σηκοῖς
μετὰ κούρης βαθυκόλπου
ῥοδίνοισι στεφανίσκοις
πεπυκασμένος χορεύσω.

43. (25.)

Τοῦ αὐτοῦ εἰς οἶνον ᾠδάριον.

Ὅταν πίνω τὸν οἶνον,
εὕδουσιν αἱ μέριμναι.
τί μοι γόων, τί μοι πόνων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω·
τί [δὲ] τὸν βίον πλανῶμαι;
πίωμεν οὖν τὸν οἶνον
τὸν τοῦ καλοῦ Λυαίου·
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὕδουσιν αἱ μέριμναι.

44. (37.)

Εἰς τὸ ἔαρ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν·
ἴδε πῶς κῦμα θαλάσσης
ἁπαλύνεται γαλήνῃ·
ἴδε πῶς νῆσσα κολυμβᾷ·
ἴδε πῶς γέρανος ὁδεύει.
ἀφελῶς δ' ἔλαμψε Τίταν·
νεφελῶν σκιαὶ δονοῦνται·
τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·
[καρποῖσι γαῖα προκύπτει·]
καρπὸς ἐλαίας προκύπτει·
Βρομίου στέφ(ων τὸ) νᾶμα
κατὰ φύλλον κατὰ κλῶνα
θαλέθων ἤνθισε καρπός.

45. (38.)

Εἰς ἑαυτόν.

Ἐγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω·
3 *κἂν δεήσῃ με χορεύειν,*
12 *Σειληνὸν ἐν μέσοισιν*
13 *μιμούμενος χορεύσω.*
4 *σκῆπτρον ἔχω τὸν ἀσκόν·*
5 *ὁ νάρθηξ δ' οὐδέν ἐστιν.*
ὁ μὲν θέλων μάχεσθαι
παρέστω καὶ μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,
μελίχρουν οἶνον ἡδὺν
ἐγκεράσας φόρησον.
ἐγὼ γέρων μέν εἰμι,
⟨νέων πλέον δὲ πίνω.⟩

46. (26.)

Ἄλλο εἰς φιλοπότην τοῦ αὐτοῦ.

Ὅταν ὁ Βάκχος ἔλθῃ,
εὕδουσιν αἱ μέριμναι·
δοκῶ δ' ἔχειν τὰ Κροίσου.
θέλω καλῶς ἀείδειν,
κισσοστεφὴς δὲ κεῖμαι,
πατῶ δ' ἅπαντα θυμῷ.
ὅπλιζ', ἐγὼ δὲ πίνω.
φέρε μοι κύπελλον, ὦ παῖ·
μεθύοντα γάρ με κεῖσθαι
πολὺ κρεῖσσον ἢ θανόντα.

47. (32.)

Τοῦ αὐτοῦ εἰς Διόνυσον ἤγουν εἰς οἶνον.

Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος,
ὁ λυσίφρων [ὁ] Λυαῖος,
ὅταν εἰς φρένας τὰς ἐμὰς
εἰσέλθῃ μεθυδώτας,
διδάσκει με χορεύειν.
ἔχω δέ τι καὶ τερπνὸν
ὁ τᾶς μέθας ἐραστάς·
μετὰ κρότων, μετ' ᾠδᾶς
τέρπει με κἀφροδίτα.
[καὶ] πάλιν θέλω χορεύειν.

48. (39.)

Εἰς συμπόσιον τοῦ αὐτοῦ.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τόδε (μὴν) ἦτορ ἰανθὲν
. . . .
λιγαίνειν † ἄρχεται μούσας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτονται μέριμναι
πολυφρόντιδές τε βουλαὶ
ἐς ἁλικτύπους ἀήτας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
λυσιπαίγμων τότε Βάκχος
πολυανθέσιν μ' ἐν αὔραις
δονέει μέθῃ γανώσας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
στεφάνους ἄνθεσι πλέξας,
ἐπιθεὶς δὲ τῷ καρήνῳ,
βιότου μέλπω γαλήνην.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
μύρῳ εὐώδεϊ τέγξας
δέμας, ἀγκάλαις δὲ κούρην
κατέχων Κύπριν ἀείδω.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ὑπὸ κυρτοῖ(σι) κυπέλλοις
τὸν ἐμὸν νόον ἁπλώσας
θιάσῳ τέρπομαι κούρων.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τοῦτό μοι μόν(ον) τὸ κέρδος,
τοῦτ' ἐγὼ λαβὼν ἀποίσω·
τὸ θανεῖν γὰρ μετὰ πάντων.

49. (34.)

Εἰς κόρην τοῦ αὐτοῦ.

Μή με φύγῃς ὁρῶσα
τὰν πολιὰν ἔθειραν·
μηδ' ὅτι σοὶ πάρεστιν
ἄνθος ἀκμαῖον, (ὥρας)

ἐμᾶς δῶρα (διώσῃ).
ὅρα κἀν στεφάνοισιν
